θει - - - ας φι - λανθρω - πι - ας αι - του-με - θα τυ-χειν ταις πρεσ-βει - - αις


και τῳ κοσμῳ δω-ρη - θη - - ναι το με-γα ε - λε - ος.

ἦχος πλ. β'.



Ο-λην α-πο-θε-με-νοι εν ου-ρα-νοις την ελ-πι-δα θη-σαυ




ρον α-συ-λη-τον ε-πι-γης οι α---γι-οι ε-θη-σαυ-ρι-σαν δω-ρε



α-ν ε-λα-βον δω-ρε-α-ν δι-δου-σι τοις νο-σου-σι τα ι-α-μα-τα χρυ



σον η αρ-γυ-ρον ευ αγ-γε-λι-κως οὐκ ε-κτη σαν-το ανθρωποις τε και κτηνε-



σι τας ευ-ερ-γε-σι-ας με-τεδω-καν ι-να δι-α παν-των υ-πη-κο-οι γε-νο-με-



νοι Χριστῳ εν παρ-ρη-σι--ᾳ πρεσβευ-ω-σιν υπερ των ψυ-χω-ν η--μω-ν.

ἦχος βαρύς.



Ου-κε-τι κω-λυ-ο-με-θα ξυ-λου ζω-ης την ελ-πι-δα




ε--χοντες τόυ σταυρου σου κυ--ρι-ε δο--ξα--σοι.

ἦχος πλ. δ'.



Κυ---ρι-ε ει και κρι-τη-ρι---ῳ πα-ρε---στης υ-πο πι-



λα-του κρι-νο-με-νος αλλουκ α-πε-λειφθης του θρο--νου τῳ πα-τρι συγ-κα-θε-


ζο-με-νος και α-να-στα-ς εκ νε-κρων τον κοσμον η-λευ-θε-ρω-σας εκ της δου-


λει - - - ας του αλ-λο-τρι - - ου ως οι-κτιρ-μων και φι-λα-ν-θρω - -'πος.


ἦχος α'.
Των ου-ρα-νι-ων ταγ-μα - - των το α-γαλ-λι-α - - μα των ε-


πι γης αν-θρω-πων κρα-ται-α προ-στα-σι - α α-χραν-τε παρ-θε-νε σω - - -


σον η-μας τους εις σε - - - κα-τα-φευ-γον-τας ο-τι εν σοι τας ελ-πι-


δα-ς με-τα θε-ον θε-ο-το-κε α-νε-θε - - - με - - - θα.

Andante.



ἦχος β'.
Ο - - - τε εκ του ξυ-λου σε νε-κρον ο Α-ρι-μα-θει-ας κα-


θει-λε την των α-πα-ν-των ζω-ην σμυρνη και σιν-δο-νι σε Χρι-στε ε - - νει - -


λη - - - σε και τω πο-θω η-πει-γε-το καρ-δι-α και χει-λει


σω-μα το α-κη-ρα-τον σου πε-ρι-πτυ - - - ξα-σ-θαι ο - - μω-ς συ-στελ-






Andante.

ἦχος δ'.











Andante.

ἦχος πλ. δ'.










η - λι - ε βλε - - - - - - πων το τολ-μη - μα η παρ - θε - νος ε - λε - γεν εν



τῳ σταυ-ρῳ βλε-που-ςα κρε-μα-με-νον Χρι-στον ον ε - - - τε - - κεν.

ΙΔΙΟΜΕΛΑ.

Adagio.

ἦχος πλ. δ΄.



Παντο - κρα - - το - ρ κυ - - ρι - - ε οι - δα - - πο - - - ςα




δυ - - - ναν ται - - τα δα - - - - - - - κρυ - - - - - - α Ε - ζε - κι - - - α - ν



γαρ εκ των πυ - λων του θα - να - - - του α - - - νη - - - - - - - γα - - - - - - - γον



τη - - ν α - - μαρ - τω - - - λον εκ των χρο - νι - - - ων πται - c μα · των ερ-




ρυ - - - - - - ςα - - - - - - - - - ντο τον δε τε - - λω - - - νην υ - περ τον φα ριc-



ςαι - - ον ε - - - - δι - - - και - - - - - - - ω - - - - - - - - ςαν και δε - - - - - -



ο - - - - - - - - - μαι ςυν αυ - τοι-c α - - - - ριθ - μη - - - - - - ςας ε - - λε-



η — — ςο - - - - - - ν με.

Adagio.

ἦχος πλ. β΄.

Ω πο - - cω-ν α - - γα - - - θων ο α - - - - - - - θλι - - -

- - - - - οc ε - μαυ - το - ν ε - - cτε - - - ρη - cα ω ποι - α - - c

βα - - - - - - - cι - - λει - - - αc ε - ξε - - - - - πε - - - - cα ο τα - λαι - -

πω - - ρο - - - c ε - - - - γω τον πλου-τον η - να - - λω - cα ο - - ν περ

ε - - - - - - - λα - - - - - - - - - βον την εν - το - λη - - ν πα - - ρε - - - - - -

βην οι - - - - - - - - - - μοι τα - λαι - - να ψυ - - χη - - - - - η τῳ πυ-

ρι τῳ αι - - - - - - ω - - - νι - - ῳ λοι - πο - ν κα - τα - - - - - δι - κα - - - - -

ζε - - - - - - - - - ται δι - ο προ τε - - - λου- c βο - - - - η - - - - - - cον

Χρι - - - cτῳ - - - - τῳ θε - - - ῳ ω ω ω - - - ω ω - ω - ω - ω - ω.

ωc τον α - - cω - - - - τον δε - ξαι - - με - υι - - - ον ο θε - - - ο - - - c

και ε - - - λε - - - η - - - - cο - - - - - - - - ν με.

Adagio.

ἦχος πλ. β΄.

ε - λε - η - - - μων οι - - - κτιρ - μω - - - - ν βο - - ω - - - - - σοι ε - λε - η-

σο - ν με - - - το - - ν πα - ρα - - πε - - σο - - - - - - ν - τα.

Adagio.

ἦχος πλ. α'.

Εν τη ε - ρυ - θρα θα - - λα - - - - - - σ - ση της α πει-ρο-

γα - - μου νυ - μ-φης ει - - κω - ν δι - - - - ε - γρα - - - - - - - φη - - - πο - -

τε ε - κει Μω-ϋ·σης δι - αι ρε - - - της του - - υ - - - - - - - - δα - - - - - - -

τος εν - θα - - δε Γα - βρι - - - ηλ υ - πη - ρε - τη - - σ του θα - - - - - - υ-

μα - - - - - - - τος το - τε τον βυ - θον ε - πε - - - ζευ - - σεν α - βρο - χω-ς

Ι - - σρα - - ηλ νυν δε τον Χριστον ε - - - γε - ν - νη - - σεν α - - - σπο - ρω - ς

η - - - πα-ρ - θε - - - - - - - νος η θα - λα - - - - - σ - σα - - - με - τα την

πα-ρο·δον του Ι - - σρα - - ηλ ε - - - μει - νε - ν α - - - - - - - βα - - - - - - -

τος η α - - - - - - - - - - - - - - - - - - με - - - - - - - μ - πτος με-τα την κυ - η - σιν

CXLII

του Ε - - μ - μα νου - - η - λ ε - - - - μει - - - νεν α - - - - - - - - φθο - - - - - -
ρος ο ω - ω - - - - ν και - - προ - - ων και φα - νεις ως α - ν - θρω - πος
θε - - ο - - - ς ε - λε - - η - - σον η - - μα - - - - - - - - - - - - - - - - - - ς.

CONSPECTUS.

I.

CODICUM ET EDITIONUM IN PRIORE PARTE ANTHOLOGIAE ADHIBITORUM.

A = cod. Monacensis, olim Augustanus, bombycinus n. 476 s. XIII vel XIV. conf. p. XI..
F = cod. Monac. membraneus n. 320 s. XII vel XIII. conf. p. XXII et LXXII.
G = cod. Monac. bombycinus n. 416 s. XII vel XIII.
H = cod. Monac. chartaceus n. 323 s. XVI.
M = cod. Monac. chartaceus n. 87 s. XVI. conf. p. XI.
N = cod. Monac. chartaceus n. 29 s. XVI. conf. p. XI.
P = cod. Parisinus n. 1039. conf. p. XI.
V = cod. Vindobonensis theolog. bombycinus n. 18 s. XIV. conf. p. XIV.
Boiss. = Sylloge poetarum graecorum. cur. Boissonade. Paris. a. 1825.
Bill. = Gregorii Nazianzeni opera ed. Billius. Paris. 1609.

II.

CODD. ET EDD. IN ALTERA PARTE ANTHOLOGIAE ADHIBITORUM.

A = cod. Monac. bombycinus n. 226 s. XIII vel XIV. conf. p. XXXVIII.
B = cod. Monac. bombycinus n. 263 s. XIII vel XIV.
C = cod. Monac. membraneus n. 587 s. XII vel XIII. conf. p. LXXI.
D = cod. Monac. bombycinus n. 205 s. XIII. conf. p. LXXI.
E = cod. Monac., olim Augustanus, membraneus n. 471 s. XI vel XII conf. p. LXXII
F = cod. Vind. theol. bombycinus n. 33 s. XIII. conf. p. LXXI.
G = cod. Vind. theol. membran. n. 332 et 338 s. XII. conf. p. LXXI.
H = cod. Vind. theol. membran. n. 136 s. XII. conf. p. LXXII.
I = cod. Vind. theol. bombycinus n. 183 s. XIV. conf. p. LXXI.
K = cod. Vind. theol. chartaceus n. 186 s. XV. conf. p. LXXI.
L = cod. Mon. bombycinus n. 201 s. XIII.

M = cod. Mon. chartaceus n. 25 s. XVI. conf. p.

V = cod. Vind. theol. membran. n. 121 s. XII. conf. p. XXXVIII.

Barth. = ed. Veneta Menaeorum et Pentecostarii. cur. Barth. Cutlumusianus. Venet. a. 1869.

Triod. = ed. Triodii. Venet. a. 1869.

Oct. = ed. Octoechi. Venet. a. 1869.

Hor. = ed. Horologii. Venet. a. 1831.

Ven. = Μηναῖα ἐπὶ διορθώσει Γεωργίου Βλαστοῦ. Ἐνετίησιν ͵αφϙβ'.

Dan. = Thesaurus hymnologicus. ed. H. A. Daniel.

Pit. = Pitra Hymnographie de l'église grecque Rom. 1867.

Beitr. = Beiträge zur kirchlichen Literatur der Byzantiner, von W. Christ, aus den Sitzungsber. der bayr. Akademie vom J. 1870.

Hirm. = Εἱρμολόγιον παρὰ Ἰωάννου Λαμπαδαρίου. Κωνσταντ. 1856.

PARS PRIOR.



CARMINA CHRISTIANA VETERA.

CΥΝΕCΙΟΥ ΥΜΝΟΙ.

Ἄγε μοι, λίγεια φόρμιγξ,
μετὰ Τηΐαν ἀοιδὰν,
μετὰ Λεcβίαν τε μολπὰν
γεραρωτέροις ἐφ᾽ ὕμνοις
κελάδει δώριον ᾠδὰν,
ἁπαλαῖς οὐκ ἐπὶ νύμφαις
ἀφροδίcιον γελώcαις,
θαλερῶν οὐδ᾽ ἐπὶ κούρων
πολυηράτοιcιν ἥβαις·
θεοκύμονος γὰρ ἁγνὰ
coφίας ἄχραντος ὠδὶς
μέλος ἐς θεῖον ἐπείγει
κιθάρας μίτους ἐρέccειν,
μελιχρὰν δ᾽ ἄνωγεν ἄταν
χθονίων φυγεῖν ἐρώτων.
τί γὰρ ἀλκά, τί δὲ κάλλος,
τί δὲ χρυςός, τί δὲ φάμα,
βαcιλήϊοί τε τιμαὶ
παρὰ τὰς θεοῦ μερίμνας;
ὁ μὲν ἵππον εὖ διώκοι,
ὁ δὲ τόξον εὖ τιταίνοι,
ὁ δὲ θημῶνα φυλάccοι
κτεάνων, χρύcειον ὄλβον·
ἑτέρῳ δ᾽ ἄγαλμα χαίτη
καταειμένη τενόντων,
πολύυμνος δέ τις εἴη
παρὰ κούροις, παρὰ κούραις
ἀμαρύγμαcιν προcώπων·
ἐμὲ δ᾽ ἀψόφητον εἴη
βιοτὰν ἄcημον ἕλκειν,
τὰ μὲν εἰς ἄλλους ἄcημον
τὰ δὲ πρὸς θεὸν εἰδότα.
coφία δέ μοι παρείη
ἀγαθὰ μὲν νεότατα,
ἀγαθὰ δὲ γῆρας ἕλκειν,
ἀγαθὰ δ᾽ ἄναcca πλούτου·
πενίαν δ᾽ ἄμοχθος οἴcει
coφία γελῶcα πικραῖς
ἄβατον βίου μερίμναις.
μόνον εἰ τόcον παρείη,
ὅcον ἄρκιον καλιῆς
ἀπὸ γειτόνων ἐρύκειν,
ἵνα μὴ χρεώ με κάμπτοι
ἐπὶ φροντίδας μελαίνας.
κλύε καὶ τέττιγος ᾠδὰν
δρόcον ὀρθρίαν πιόντος.

Synesii in carminibus recognoscendis adhibuimus cod. Monacensem n. 476 s. XIII olim Augustanum (A), cod. Mon. n. 87 s. XVI (M), cod. Mon. n. 29 s. XVI (N), denique quae Boissonade ex cod. Parisino 1039 (P) excerpsit. — Cυνεcίου ὕμνοι ἔμμετροι AMN; singuli hymni hoc ordine sese excipiunt in A: 6. 2. 7. 8. 1. 2. 3. 4. 10 omissis 5. 9, in N: 3. 4. 5. 6. 2. 7, 8. 9. 1 omisso 10, in M: 3. 4. 5. 6. 2. 7. 8. 9. 1. 10 — I v. 17 φάμαι M — 18 βαcίλειοί τε τιμαί γε AM — 20 εὖ ἵππον A, M ex corr. — διώκει A — 21 τιταίνει A — 24 ἑτέρα M — 26 τις N: κεν A τις in κὲν corr. M — 31 ἐς MN fort.: ἄλλους ἐς — 41 καλοῖcιν A καλιῆς in καλοῖcιν corr. M — 43 κόποι A κάμπτοι in κόπτοι corr. M

Ἴδε μοι βοῶcι νευραὶ
ἀκέλευςτα, καί τιc ὀμφὴ
περί τ' ἀμφί τέ με ποτᾶται.
τί ποτ' ἄρα τέξεταί μοι
μέλος ἁ θέςκελος ᾠδίς;
Ὁ μὲν αὐτόccυτος ἀρχὰ,
ταμίας πατὴρ τ' ἐόντων,
ἀλόχευτος ὑψιθώκων
ὑπὲρ οὐρανοῦ καρήνων
ἀλύτῳ κύδεϊ γαίων
θεὸc ἔμπεδος θαάccει,
ἑνοτήτων ἑνὰc ἁγνὴ,
μονάδων μονάc τε πρώτη,
ἁπλότητας ἀκροτήτων
ἑνόωcα καὶ τεκοῦcα
ὑπερουcίοιc λοχείαιc·
ὅθεν αὐτὴ προθοροῦcα
διὰ πρωτόcπορον εἶδοc
μονὰc ἄρρητα χυθεῖcα
τρικόρυμβον ἔcχεν ἀλκάν.
ὑπερούcιοc δὲ παγὰ
cτέφεται κάλλεϊ παίδων
ἀπὸ κέντρου τε θορόντων,
περὶ κέντρον τε ῥυέντων.
Μένε μοι θραcεῖα φόρμιγξ,
μένε, μηδὲ φαῖνε δήμοιc
τελετὰc ἀνοργιάcτουc.
ἴθι καὶ τὰ νέρθε φώνει·
τὰ δ' ἄνω cιγὰ καλύπτει,
ὁ δὲ νοῦc οἵοιcιν ἤδη
μέλεται νοεροῖcι κόcμοιc·
ἀγαθὰ γὰρ ἔνθεν ἤδη
βροτέου πνεύματοc ἀρχὰ
ἀμερίcτωc ἐμερίcθη,
ὁ καταιβάταc ἐc ὕλαν
νόοc ἄφθιτοc, τοκήων
θεοκοιράνων ἀπορρὼξ,
ὀλίγα μὲν, ἀλλ' ἐκείνων.
ὅλοc οὗτοc εἷc τε πάντῃ,
ὅλοc εἰc ὅλον δεδυκὼc,
κύτοc οὐρανῶν ἑλίccει·
τὸ δ' ὅλον τοῦτο φυλάccων
νενεμημέναιcι μορφαῖc
μεμεριcμένοc παρέcτη,
ὁ μὲν ἀcτέρων διφρείαιc,
ὁ δ' ἐc ἀγγέλων χορείαc·
ὁ δὲ καὶ ῥέποντι δεcμῷ
χθονίαν εὕρετο μορφάν·
ἀπὸ δὲ cταθεὶc τοκήων
δνοφερὰν ἤρυcε λάθαν,
ἀλαωποῖcι μερίμναιc
χθόνα θαυμάcαc ἀτερπῆ
θεὸc ἐc θνητὰ δεδορκώc.
Ἔνι μάν, ἔνι τι φέγγοc
κεκαλυμμέναιcι γλήναιc·
ἔνι καὶ δεῦρο πεcόντων
ἀναγώγιόc τιc ἀλκά,
ὅτε κυμάτων φυγόντεc
βιοτηcίων ἀκηδεῖc
ἁγίαc ἔcτειλαν οἴμουc
πρὸc ἀνάκτορον τοκῆοc.
μάκαρ ὅcτιc βορὸν ὕλαc
προφυγὼν ὕλαγμα, καὶ γᾶc
ἀναδὺc ἅλματι κούφῳ
ἴχνοc ἐc θεὸν τιταίνει.
μάκαρ ὅcτιc μετὰ μοίραc,
μετὰ μόχθουc, μετὰ πικρὰc
χθονογηθεῖc μελεδῶναc
ἐπιβὰc νόου κελεύθων
βυθὸν εἶδεν θεολαμπῆ.
Πόνοc ἔcθ' ὅλαν τανύcθαι
κραδίαν ὅλοιcι ταρcοῖc
ἀναγωγίων ἐρώτων.
μόνον ἐμπέδωcον ὁρμὰν

49 ἀμφί τέ με Boissonade: ἀμφί με codd. — 53 τε ὄντων vulgo, correxit Boiss. — 61 ἑνόωcα nos: ἑνόcαcα A ἑνώcαcα MN — 62 ὑπερουcίαιc A — 66 τρικόρυμνον A τρικόρυβον N τρικόρυβον in τρικόρυμνον corr. M — εἶχεν A — 74 ὅθι N, M var. lect. — 75 καλύπτει A MN: καλύπτοι vulgo — 77 νόοιcι codd. νοεροῖcι suadente Boissonadio scribere ausi sumus, nescio tamen an praestet νόοιο — 96 om. A; δ' ἐcτάθη codd. aut δὲ cταθεὶc aut δνοφερὰν δ' ἤρυcε scribendum esse monuit Boiss. — 97 ἀλαωποῖcι A: ἀλαωπῆcι P ἀλαωπίcι MN — 100 fort. ἔτι μάν, cf. III 577 — 107 ἀνάκτορνον M — 108 βορὸν in βάροc corr. M — 117 ἔcθ' nos: ἐc A m. pr. εἰc A ex corr. MN — τανύcθαι N: τανύcαι A τανύcθαι in τανῦcαι corr. M

νοερηφόροιϲιν ὁρμαῖϲ·
ὁ δέ τοι πέλαϲ φανεῖται
γενέταϲ χεῖραϲ ὀρεγνύϲ·
προθέοιϲα γάρ τιϲ ἀκτὶϲ
καταλάμψει μὲν ἀταρποὺϲ,
πετάϲει δέ τοι νοητὸν
πεδίον, κάλλεοϲ ἀρχάν.
Ἄγε μοι, ψυχά, πιοῖϲα
ἀγαθορρύτοιο παγᾶϲ,
ἱκετεύϲαϲα τοκῆα
ἀνάβαινε μηδὲ μέλλε
χθονὶ τὰ χθονὸϲ λιποῖϲα·
τάχα δ' ἂν μιγεῖϲα πατρὶ
θεὸϲ ἐν θεῷ χορεύϲαιϲ.

II

Πάλι φέγγοϲ, πάλιν ἀώϲ,
πάλιν ἁμέρα προλάμπει
μετὰ νυκτίφοιτον ὄρφναν·
πάλι μοι λίγαινε, θυμὲ,
θεὸν ὀρθρίοιϲιν ὕμνοιϲ,
ὃϲ ἔδωκε φέγγοϲ ἀοῖ,
ὃϲ ἔδωκεν ἄϲτρα νυκτὶ,
περικοϲμίαν χορείαν.
πολυκύμονοϲ μὲν ὕλαϲ
ἐκάλυψε νῶτον αἰθὴρ
πυρὸϲ ἐμβεβὼϲ ἀώτῳ,
ἵνα κυδίμα ϲελάνα
πυμάταν ἄντυγα τέμνει·
ὑπὲρ ὀγδόαν δὲ δίναν
ἑλίκων ἀϲτροφορήτων
ῥόοϲ ἀϲτέρων ἔρημοϲ
ὑποκολπίουϲ ἐλαύνων
πτύχαϲ ἀντίον θεοίϲαϲ
μέγαν ἀμφὶ νοῦν χορεύει,
ὃϲ ἄνακτοϲ ἄκρα κόϲμου
πολιοῖϲ ἔρεψε ταρϲοῖϲ.
τὰ πρόϲω μάκαιρα ϲιγὰ,
νοερῶν τε καὶ νοητῶν
ἄτομον τομὰν, καλύπτει.
Μία παγὰ, μία ῥίζα
τριφαὴϲ ἔλαμψε μορφά·
ἵνα γὰρ βυθὸϲ πατρῷοϲ,
τόθι καὶ κύδιμοϲ υἱόϲ,
κραδιαῖόν τι λόχευμα,
ϲοφία κοϲμοτεχνῖτιϲ·
ἑνοτήϲιόν τε φέγγοϲ
ἁγίαϲ ἔλαμψε πνοιᾶϲ.
μία παγὰ, μία ῥίζα
ἀγαθῶν ἀνέϲχεν ὄλβον
ὑπερούϲιόν τε βλάϲταν
γονίμοιϲ ζέοιϲαν ὁρμαῖϲ·
τά τ' ἐνουϲίων προλάμπει
μακάρων ἀγητὰ φέγγη.
ὅθεν ἐγκόϲμιοϲ ἤδη
χορὸϲ ἀφθίτων ἀνάκτων
γενετήριόν τε κῦδοϲ
τό τε πρωτόϲπορον εἶδοϲ
νοεροῖϲ ἔμελψεν ὕμνοιϲ·
πέλαϲ εὐμενῶν τοκήων
ϲτρατὸϲ ἀγγέλων ἀγήρωϲ
τὰ μὲν ἐϲ νόον δεδορκὼϲ
δρέπεται κάλλεοϲ ἀρχάν,
τὰ δ' ἐϲ ἄντυγαϲ δεδορκὼϲ
διέπει βένθεα κόϲμου,
τὸν ὕπερθε κόϲμον ἕλκων
νεάταϲ καὶ μέχριϲ ὕλαϲ,
ἵνα δαιμόνων ὅμιλον
φύϲιϲ ἱζάνοιϲα τίκτει
πολύθρουν καὶ πολυμήταν·
ὅθεν ἥρωϲ, ὅθεν ἤδη
περὶ γᾶν ϲπαρεῖϲα πνοιὰ
χθονὸϲ ἔζωϲε μοίραϲ
πολυδαιδάλοιϲι μορφαῖϲ·
τὰ δὲ πάντα ϲεῖο βουλᾶϲ
ἔχεται· ϲὺ δ' ἐϲϲὶ ῥίζα

---

133 τάχα δ' ἂν corr. in τάχοϲ ἄν M — χορεύϲαιϲ P: χορεύϲοιϲ A ex corr. χορεύϲειϲ MN, quod si tueri volueris, τάχα δ' ἀμμιγεῖϲα emendare debebis — II 1, 4. III 143. VIII 51 πάλι A ex corr.: πάλιν MN — 4 λίγαινε A: λίταινε N λίγαιναι ex λίταινε corr. M — 13 τέμνη N, M var. lect. — 21 ἔρεψε A: ἔτρεψε N ἔρεψε ex ἔτρεψε corr. M — 30 κοϲμοτεχνῆτιϲ MN — 34 ἀνέϲχεν cum var. lect. ἔδειξεν M — 35 βλάϲταν ex βλάϲτον corr. M — 47 ἀλκάν MN — 53 τίκτη N — 57 nescio an ἔζωϲε Synesius scripserit

παρεόντων, πρό τ' ἐόντων,
μετεόντων, ἐνεόντων·
cὺ πατήρ, cὺ δ' ἐccὶ μάτηρ,
cὺ δὲ ἄρρην, cὺ δὲ θῆλυc,
cὺ δὲ φωνά, cὺ δὲ cιγά,
φύcεωc φύcιc γονῶcα,
cὺ δ' ἄναξ, αἰῶνοc αἰών.
τὸ μὲν ᾗ θέμιc βοᾶcαι·
μέγα χαῖρε, ῥίζα κόcμου,
μέγα χαῖρε, κέντρον ὄντων,
μονὰc ἀμβρότων ἀριθμῶν
προανουcίων ἀνάκτων.
μέγα χαίροιc, μέγα χαίροιc,
ὅτι πὰρ θεῷ τὸ χαίρειν·
ἐπ' ἐμοῖc ἵλαον οὖαc
τάνυcον χοροῖcιν ὕμνων·
cοφίαc ἄνοιγε φέγγοc,
κατάχει κύδιμον ὄλβον,
κατάχει χάριν λιπῶcαν
βιοτᾶc γαληνιώcαc,
πενίαν ἐκτὸc ἐλαύνων
χθονίαν τε κῆρα πλούτου·
μελέων ἔρυκε νούcουc,
παθέων δ' ἄκοcμον ὁρμὰν
φρενοκηδεῖc τε μερίμναc
ἀπό μοι ζωᾶc ἐρύκοιc,
ἵνα μὴ τὸ νοῦ πτέρωμα
ἐπιβρίcῃ χθονὸc ἄτα·
ἄνετον δὲ ταρcὸν αἴρων
περὶ cᾶc ὄργια βλάcταc
τὰ πανάρρητα χορεύcω.

III

Ἄγε μοι ψυχά
ἱεροῖc ὕμνοιc
ἐπιβαλλομένα
ὑληγενέαc
εὔναcον οἴcτρουc·
θώρηccε δὲ νοῦ
ζαμενεῖc ὁρμάc.
Βαcιλῆϊ θεῶν
πλέκομεν cτέφανον,
θῦμ' ἀναίμακτον,
ἐπέων λοιβάc.
Cὲ μὲν ἐν πελάγει,
cὲ δ' ὑπὲρ νάcων,
cὲ δ' ἐν ἀπείροιc,
ἐπί τε πτολίων
κραναῶν τ' ὀρέων,
καὶ κατὰ κλεινῶν
ὁπόταν πεδίων
cτάcω διδύμουc
γυίων ταρcούc,
cέ, μάκαρ, μέλπω,
γενέτα κόcμου.
cοὶ νύξ με φέρει
τὸν ἀοιδόν, ἄναξ·
cοὶ δ' ἀμερίουc,
cοὶ δ' ἀῴουc,
cοὶ δ' ἑcπερίουc
ὕμνουc ἀνάγω.
ἵcτορεc αὐγαὶ
πολιῶν ἄcτρων
μάναc τε δρόμοι·
καὶ μέγαc ἵcτωρ
ἅλιοc ἁγνῶν
ἄcτρων πρύτανιc,
ὁcίαν ψυχὰν
ἅγιοc ταμίαc.
Ἐπὶ cὰc αὐλάc,
ἐπὶ cοὺc κόλπουc
τὸν ἀπόcτροφον
ταναᾶc ὕλαc
ταρcὸν ἐλάφρουν,
χαίρων ἵνα cου
προμολὰν ἱκόμαν,
νῦν ἐπὶ cεμνᾶc

64 δὲ ἄρρην A sed ἐ ἄ in ras. — 68 εἰ θέμιc M — 72 προαναcίων MN — 78 et 79 κατέχει AM — III 6 νόου AMNP, praeterea in A δὲ erasum — 10 θῦμ' contra veterum poetarum usum corripuit Synesius — 32 ἵcτωρ ex ἵτωρ corr. MN — 35 ὁcίαν AP: ὁcίων MN — 39 vocabuli ἀπόcτροφον paenultimam syllabam produxisse videtur poeta; cf. v. 109, 235 — 41 ἐλάφρουν tentavimus, nisi πόδ' ἐλάφριζον malis ἐλαφριζόντων AMN ἐλαφρίζων vulgo

τελετηφορίας
cηκοὺc ἁγίους
ἱκέτας ἔμολον·
νῦν ἐπὶ κλεινῶν
κορυφὰν ὀρέων
ἱκέτας ἔμολον·
νῦν ἐc ἐρήμας
αὐλῶνα μέγαν
Λιβύας ἔμολον,
πέζαν νοτίαν·
τὰν οὔτ᾽ ἄθεον
πνεῦμα μολύνει,
οὔτε χαράccει
ἴχνος ἀνθρώπων
ἀcτυμερίμνων·
ἵνα coι ψυχὰ
καθαρὰ παθέων,
λύcαcα πόθους,
λήξαcα πόνων,
λήξαcα γόων,
θυμῶν, ἐρίδων,
ὅcα κηριτρεφῆ
ἀποcειcαμένα
καθαρᾷ γλώccᾳ
γνώμῃ θ᾽ ὁcίᾳ
τὸν ὀφειλόμενον
ὕμνον ἀποίcῃ.
Εὐφαμείτω
αἰθὴρ καὶ γᾶ·
cτάτω πόντος,
cτάτω δ᾽ ἀήρ·
λήγετε πνοιαὶ
βαλίων ἀνέμων,
λήγετε ῥιπαὶ
γυρῶν ῥοθίων,
ποταμῶν προχοαί,
κραναaὶ λιβάδες.
ἐχέτω cιγὰ
κόcμου λαγόνας,
ἱερευομένων
ἁγίων ὕμνων·
δύτω κατὰ γᾶc
ὀφίων cυρμόc,
δύτω κατὰ γᾶc
καὶ πτανὸc ὄφιc,
δαίμων ὕλας,
νεφέλα ψυχᾶc,
εἰδωλοχαρὴc,
εὐχαῖc cκύλακας
ἐπιθωῦccων.
cὺ πάτερ, cὺ μάκαρ,
cὺ ψυχοβόρους
ἀπέρυκε κύνας
ψυχᾶc ἀπ᾽ ἐμᾶc,
εὐχᾶc ἀπ᾽ ἐμᾶc,
ζωᾶc ἀπ᾽ ἐμᾶc,
ἔργων ἀπ᾽ ἐμῶν.
ἃ δ᾽ ἁμετέρα
πραπίδων λοιβὰ
coῖc ἐριτίμοιc
μελέτω προπόλοιc,
πορθμεῦcι coφοῖc
ἁγίων ὕμνων.
Ἤδη φέρομαι
ἐπὶ βαλβίδας
ἱερῶν ἐπέων·
ἤδη καναχεῖ
ὀμφὰ περὶ νοῦν.
Μάκαρ, ἵλαθί μοι,
πάτερ, ἵλαθί μοι,
εἰ παρὰ κόcμον,
εἰ παρὰ μοῖραν
τῶν cῶν ἔθιγον.
τίνος ὄμμα coφόν,
τίνος ὄμμα πολύ,
ταῖc caῖc cτεροπαῖc
ἀνακοπτόμενον,
οὐ καταμύcει;
ἀτενὲc δὲ δρακεῖν
ἐπὶ coὺc πυρcοὺc
θέμιc οὐδὲ θεοῖc·
πίπτων δὲ νόος

48—53 om. A — 51—53 om. P — 98—102 = IV 248—252 — 115 εἰ A in ras.: εἴ που MNP

ἀπὸcᾶc cκοπιᾶc
τὰ πέλας cαίνει,
ἀκίχητα κιχεῖν
ἐπιβαλλόμενος,
προcιδεῖν αἴγλαν
ἀκάμαντι βυθῷ
ἀμαρυccoμέναν·
ἀβάτων δ᾽ ἀποβὰc
ἐπὶ πρωτοφανὲc
εἶδοc ἐρείδει
ὄμματος ὁλκάν·
ὅθεν αἰνύμενος
ἐπὶ cοὺc ὕμνουc
ἄνθεα φωτὸc
ἀορίcτοιc ἀνέμοιc
ἀναπαῦcαι βολάν,
τὰ cὰ cοὶ πάλι δούc.
τί γὰρ οὐ cὸν, ἄναξ;
πατέρων πάντων
πάτερ, αὐτοπάτωρ,
προπάτωρ, ἀπάτωρ,
υἱὲ cεαυτοῦ,
ἓν ἑνὸc πρότερον,
ὄντων cπέρμα,
πάντων κέντρον,
προανούcιε νοῦ,
κόcμων ῥίζα
τῶν ἀρχεγόνων,
ἀμφιφαὲc φῶc,
ἀτρέκεια cοφὰ,
παγὰ cοφίαc,
κεκαλυμμένε νοῦ
ἰδίαιc αὐγαῖc,
ὄμμα cεαυτοῦ
πρηcτηροκράτορ,
αἰωνοτόκε,
αἰωνόβιε,
ἐπέκεινα θεῶν,
ἐπέκεινα νόων·
θἄτερα νωμῶν,
νοερητόκε νοῦ,
ὀχετηγὲ θεῶν,
πνευματοεργὲ
καὶ ψυχοτρόφε·
παγὰ παγῶν,
ἀρχῶν ἀρχά,
ῥιζῶν ῥίζα·
μονὰc εἶ μονάδων,
ἀριθμῶν ἀριθμὸc,
μονὰc ἠδ᾽ ἀριθμὸc,
νοῦc καὶ νοερὸc
καὶ τὸ νοητὸν
καὶ πρὸ νοητοῦ·
ἓν καὶ πάντα,
ἓν διὰ πάντων,
ἕν τε πρὸ πάντων,
cπέρμα τὸ πάντων,
ῥίζα καὶ ὅρπαξ,
φύcιc ἐν νοεροῖc,
θῆλυ καὶ ἄρρεν·
μύcταc δὲ νόοc
τά τε καὶ τὰ λέγει,
βυθὸν ἄρρητον
ἀμφιχορεύων.
Cὺ τὸ τίκτον ἔφυc,
cὺ τὸ τικτόμενον,
cὺ τὸ φωτίζον,
cὺ τὸ λαμπόμενον,
cὺ τὸ φαινόμενον,
cὺ τὸ κρυπτόμενον,
φῶc κρυπτόμενον
ἰδίαιc αὐγαῖc·
ἓν καὶ πάντα
ἓν καθ᾽ ἑαυτὸ
καὶ δι᾽ ἁπάντων·
cὺ γὰρ ἐξεχύθηc,
ἀρρητοτόκε,
ἵνα παῖδα τέκηc

132 ἀκάματι MN — 137 ἀλκάν N, M var. lect. — 141. 2 versus corruptos reliquimus intactos, Boissonade et ἀνέπαυcε et ἀέροc ἀνέμοιc ἀνέπνευcε βολάν tentavit — 143 ταῦτα cοί A — 153 κόcμου M vulgo — 166 θάτερα nos: ἐπὶ θάτερα codd. ἐπίcηc Boiss. — 181 δ᾽ ἁπάντων AMN — 197 in vett. edd. ante Boiss. casu, ut videtur, excidit

κλεινὰν ϲοφίαν
δημιοεργόν·
προχυθεὶϲ δὲ μένειϲ
ἀτόμοιϲι τομαῖϲ
μαιευόμενοϲ.
Ὑμνῶ ϲε, μονάϲ,
ὑμνῶ ϲε, τριάϲ·
μονὰϲ εἶ τριὰϲ ὤν,
τριὰϲ εἶ μονὰϲ ὤν·
νοερὰ δὲ τομὰ
ἄϲχιϲτον ἔτι
τὸ μεριϲθὲν ἔχει.
ἐπὶ παιδὶ χύθηϲ
ἰότατι ϲοφᾷ,
αὐτὰ δ᾽ ἰόταϲ
βλάϲτηϲε μέϲα
φύϲιϲ ἄφθεγκτοϲ,
τὸ προούϲιον ὄν.
οὐ θέμιϲ εἰπεῖν
δεύτερον ἐκ ϲοῦ·
οὐ θέμιϲ εἰπεῖν
τρίτον ἐκ πρώτου.
Ὠδὶϲ ἱερά,
ἄρρητε γονά,
ὅροϲ εἶ φυϲίων
τᾶϲ τικτοίϲαϲ
καὶ τικτομέναϲ.
ϲέβομαι νοερῶν
κρυφίαν τάξιν·
χωρεῖ τι μέϲον
οὐ καταχυθέν.
Ἄφθεγκτε γόνε
πατρὸϲ ἀφθέγκτου,
ὠδὶϲ διὰ ϲέ,
διὰ δ᾽ ὠδῖνοϲ
αὐτὸϲ ἐφάνθηϲ,
ἅμα πατρὶ φανεὶϲ
ἰότατι πατρόϲ·
ἰόταϲ ϲὺ δ᾽ ἀεὶ
παρὰ ϲεῖο πατρί·
οὐδ᾽ ὁ βαθύρρουϲ
χρόνοϲ οἶδε γονὰϲ
τὰϲ ἀρρήτουϲ·
αἰὼν δὲ γέρων
τὸν ἀμήρυτον
τόκον οὐκ ἐδάη·
ἅμα πατρὶ φάνη
γενόμενοϲ αἰῶν᾽
ὁ γενηϲόμενοϲ.
Τίϲ ἐπ᾽ ἀφθέγκτοιϲ
ἐβράβευϲε τόλμαν;
ἀλαῶν μερόπων
δαιδαλογλώϲϲων
ἄθεοι τόλμαι·
ϲὺ δὲ φωτοδόταϲ
φωτὸϲ νοεροῦ·
ϲκολιᾶϲ δ᾽ ἀπάταϲ
ἀνέχειϲ ὁϲίων
πραπίδαϲ μερόπων
ἐϲ ζόφον ὕλαϲ
μὴ καταδῦναι.
Ϲέ, πάτερ κόϲμων,
πάτερ αἰώνων,
αὐτουργὲ θεῶν,
εὐαγὲϲ αἰνεῖν.
Ϲὲ μὲν οἱ νοεροὶ
μέλπουϲιν, ἄναξ,
ϲὲ δὲ κοϲμαγοὶ
ὀμματολαμπεῖϲ
νόεϲ ἀϲτέριοι
ὑμνοῦϲι, μάκαρ,
οὓϲ πέρι κλεινὸν
ϲῶμα χορεύει.
πᾶϲά ϲε μέλπει
γενεὰ μακάρων,
οἱ περὶ κόϲμον,
οἱ κατὰ κόϲμον,
οἱ ζωναῖοι,

214—216 = IV 116 sqq. — 217 χύθηϲ Boissonade: χυθεὶϲ codd. — 235 καταχθέν MN — 243 ϲέ δέ MNP unde ϲύ δέ Boiss.: ϲὺ A in ras. et varia lect. in M — 252 γενόμενοϲ αἰῶν᾽ nos: αἰὼν γενόμενοϲ AMN vulgo; si elisio in clausula versiculi facta te offendet, poteris γενόμενοϲ αἰέν scribere — 255 ἐβράβευϲε θράϲοϲ mavult Boiss. — 277 χορεύει A: χορεύϲει PMN

οἵ τ᾽ ἄζωνοι
κόσμου μοίρας
ἐφέπουσι σοφοί,
ἀμφιβατῆρες
οἱ περὶ κλεινοὺς
οἰηκοφόρους·
οὓς ἀγγελικὰ
προχέει σειρὰ
τό τε κυδῆεν
γένος ἡρώων,
ἔργα τὰ θνητῶν
κρυφίαισιν ὁδοῖς
διανισσόμενον,
[ἔργα βρότεια]
ψυχά τ᾽ ἀκλινὴς
καὶ κλινομένα
ἐς μελαναυγεῖς
χθονίους ὄγκους.
Σὲ μάκαιρα φύσις
φύσεώς τε γονὰ,
μάκαρ, ὑμνέει,
τὰς ζειδώροις
ἐφέπεις πνοιαῖς,
ἀπὸ σῶν ὀχετῶν
κατασυρομέναις,
προκυλινδομέναις·
σὺ γὰρ, ἀχράντων
ἡγέτα κόσμων,
φύσις εἶ φυσίων·
σὺ φύσιν θάλπεις,
γένεσιν θνατῶν,
τᾶς ἀενάω
ἰνδαλμῶνα,
ἵνα καὶ πυμάτα
μερὶς ἐν κόσμῳ
λελάχῃ ζωᾶς
ἐπαμειβομένας·
οὐ γὰρ θέμις ἦν
τρύγα τὰν κόσμου
κορυφαῖς ἐρίσαι·
τὸ δὲ ταχθὲν ὅλως
ἐς χορὸν ὄντων
οὐκέτ᾽ ὀλεῖται·
ἄλλο δ᾽ ἀπ᾽ ἄλλου,
διὰ δ᾽ ἀλλήλων
πάντ᾽ ἀπολαύει·
ἐξ ὀλλυμένων
κύκλος ἀΐδιος
ταῖς σαῖς πνοιαῖς
ἀναθαλπόμενος.
σοὶ διὰ πάντων
ἵστησι χοροὺς
μάτειρα φύσις
ἰδίαις χροίαις,
ἰδίοις ἔργοις
δαιδαλλομένων,
ἐκ δὲ ζώων
ἑτεροφθόγγων
μίαν ἁρμονίαν
ὁμόφωνον ἄγει.
σοὶ πάντα φέρει
αἶνον ἀγήρων,
ἀὼς καὶ νύξ,
στεροπαί, νιφάδες,
οὐρανὸς αἴθων
καὶ γᾶς ῥίζαι,
ὕδωρ, ἀήρ,
σώματα πάντα,
πνεύματα πάντα,
σπέρματα, καρποί,
φυτὰ καὶ ποῖαι,
ῥίζαι, βοτάναι,
βοτὰ καὶ πτηνὰ
καὶ νηχομένων
νεπόδων ἀγέλαι.
Ἴδε καὶ ψυχὰν

---

287 παρά Boiss. — 292 ἄλμα γένος ἡρώων MN — 296 varia lectio versiculi 293 esse videtur — 299 μελαιναυγεῖς AM — 303 μάκαρ, ὑμνέει nos, nisi ὑμνείει malis: ὑμνέει μάκαρ codd. ὑμνέει σε μάκαρ Boiss. — 308 προκυλινδομέναις A sed οκ in ras. προσκυλ. MN — 315 ἰνδαλμῶνα nos analogiam κευθμῶνος secuti: ἰνδαλμόνας AMN ἰνδαλμόνα vulgo — 318 λελάχῃ ζωᾶς λελάχῃ ζωαῖς AN — 328 ἀπολαύειν MN — 339 ζωάν AMN — 344 ὕμνον A et var. lect. in M — 347 αἴθων nos: αἰθήρ A in ras. ἀκμῆς αἴθων MNP — 353 πόαι AMN

ὀλιγοδρανέα,
ὀλιγηπελέα
ἐπὶ ϲᾶϲ Λιβύαϲ,
ἐπὶ ϲᾶϲ ϲεπτᾶϲ
ἱερηπολίαϲ
ὁϲίαιϲ εὐχαῖϲ
ἐπιμεμβλομέναν,
τὰν ἀμφιπολεῖ
νέφοϲ ὑλαῖον·
ϲὸν δ᾽ ὄμμα, πάτερ,
κοπτικὸν ὕλαϲ.
Νῦν μοι κραδία
τοῖϲ ϲοῖϲ ὕμνοιϲ
πιαινομένα
ἐθόωϲε νόον
πυρίαιϲ ὁρμαῖϲ·
ϲὺ δὲ λάμψον, ἄναξ,
ἀνάγωγα φάη.
νεῦϲον δὲ, πάτερ,
ϲῶμα φυγοῖϲαν
μηκέτι δῦναι
ἐϲ χθονὸϲ ἄταν.
ὄφρα δὲ ζωᾶϲ
ὑλοδιαίτου
δεϲμοῖϲι μένω,
πραεῖα, μάκαρ,
βόϲκοι με τύχα·
μηδ᾽ ἐμπόδιον
πνεύϲειε νόου
φροντίϲι λυγραῖϲ
δάπτοιϲα βίον,
ἵνα μὴ τὰ θεοῦ
ἄϲχολοϲ εἴην,
μηδ᾽ ἔτι τοίοιϲ
ἐναλινδοίμαν,
ὅθεν˙ ἐκπροφυγὼν
δώροιϲι τεοῖϲ
ϲτέφοϲ εὐαγέων
ἀπὸ λειμώνων
ϲοὶ τοῦτο πλέκω,
ϲοὶ τόνδε φέρω
αἶνον, ἀχράντων
ἡγέτα κόϲμων,
καὶ παιδὶ ϲοφῷ,
αὐτᾷ ϲοφίᾳ,
τὸν ἀπ᾽ ἀρρήτων
ἔχεαϲ κόλπων,
ἐν ϲοὶ δὲ μένει
ϲέθεν ἐκπροθορών,
ἵνα πάντα ϲοφαῖϲ
ἐφέπῃ πνοιαῖϲ,
διέπῃ πολιῶν
βάθοϲ αἰώνων,
διέπῃ ταρϲοὺϲ
κραναοῦ κόϲμου
μέχρι καὶ νεάτου
πυθμένοϲ ὄντων
χθονίαϲ μοίραϲ,
ὁϲίαιϲ πραπίϲιν
ἐλλαμπόμενοϲ,
λύῃ δὲ πόνουϲ
ἠδὲ μερίμναϲ
διερῶν μερόπων,
ἀγαθῶν κράντωρ,
ἐλατὴρ ἀχέων.
τί δὲ θαῦμα, θεὸν
τὸν κοϲμοτέχναν
ἰδίων ἔργων
κῆραϲ ἐρύκειν;
Τόδε ϲοι, μεγάλου
κοίρανε κόϲμου,
τίϲων ἔμολον
χρέοϲ ἐκ Θρῄκηϲ,
ἵνα τὰν τριέτιν
ᾤκηϲα γύαν
παρ᾽ ἀνακτόριον
γαίαϲ μέλαθρον·
ἔτλαν δὲ πόνουϲ,

365 ἐπιμελπομέναν AM ἐπιμελομέναν N — 375 sq. = 593 sq. et 698 sq. — 377. 379—384 = 726. 728—734 — 398 πλέκων et 399 φέρων MN — 403 αὐτᾷ A in ras. ϲὺν αὐτᾷ MN ϲὺν τᾷ Boiss. — 410 διέπει MN et infra λύει MNP, quas lectiones tuetur Boiss. — 420 ἠδέ nos: καί AM ϲύν τε Boiss. — 432 τριέτην MN — 433 ᾤκηϲα γύαν Boiss.: ᾤκηϲ᾽ ἀγυιάν AN, nisi quod η in ι corr. A

ἔτλαν δ' ὀδύνας
πολυδακρύτους,
ὤμοιςι φέρων
ματέρα πάτραν.
ῥαίνετο μὲν γᾶ
ἱδρῶτι μελῶν
ἀεθλευόντων
ἆμαρ ἐπ' ἆμαρ·
ῥαίνετο δ' εὐνὰ
κανθῶν λιβάςιν
ὀλοφυρομένων
νύκτ' ἐπὶ νύκτα.
νηοὶ δ' ὁπόςοι
δέδμηντο, ἄναξ,
ἐπὶ ςαῖς ἁγίαις
τελετηφορίαις,
ἐπὶ πάντας ἔβαν,
πρηνὴς ἱκέτας
δάπεδον βλεφάρων
δεύων νοτίςι,
μή μοι κενεὰν
ὁδὸν ἀντᾶςαι·
ἱκέτευςα θεοὺς
δρηςτῆρας, ὅςοι
γονόεν Θρῄκης
κατέχουςι πέδον,
οἵ τ' ἀντιπέρην
Καλχηδονίας
ἐφέπουςι γύας,
οὓς ἀγγελικαῖς
ἔςτεψας, ἄναξ,
αὐγαῖςι, τεοὺς
ἱεροὺς προπόλους.
ςύν μοι μάκαρες
ἐλάβοντο λιτᾶν,
ςύν μοι πολέων
ἐλάβοντο πόνων.
οὔ μοι Ζωὰ
τᾶμος δὲ φίλα
διὰ γᾶν πατρίαν
ςτυφελιζομέναν,
τὰν ἐξ ἀχέων
ἔςταςας, ἄναξ,
αὐτὸς ἀγήρως,
κοίρανε κόςμου.
ἤδη ψυχᾶς
ἀποτρυομένας,
ἤδη μελέων
κατερειπομένων
ὑπέρειςας ἐμὰν
ἄρθρων δύναμιν,
τλάμονι ψυχᾷ
μένος ἐμπνεύςας·
καμάτων δὲ γλυκὺ
εὕρεο τέκμωρ
κατὰ θυμὸν ἐμὸν,
ἔργοιςιν, ἄναξ,
ὀπάςας δολιχῶν
ἄμπαυμα πόνων.
τὰ ςὺ πάντα, μάκαρ,
Λιβύεςςι ςάου
ἐς μηκεδανὸν
μήρυμα χρόνου,
διὰ ςᾶς μνάμαν
εὐεργεςίας,
διά τε ψυχὰν
αἰνὰ παθοῖςαν·
ἱκέτᾳ δὲ δίδου
βιοτὰν ἀςινῆ·
λύε με μόχθων,
λύε με νούςων,
λύε μεριμνᾶν
κηριτρεφέων·
νεῦςον νοερὰν
προπόλῳ ζωάν.
μή μοι χθονίους
ὄμβρους ἀφένου
κρήνειας, ἄναξ,
ἵνα μὴ τὰ θεοῦ
ἄςχολος εἴην·

450 δέδμηντο nos: δόμηδεν AMN δώμηθεν P — 461 γονόην MNP γόνιμον A in ras. — 465 γυίας codd. γύας hoc versu et 433. 679 reposuit Boiss. — 467 ἔτρεψας A ἔςτρεψας in ἔτρεψας corr. M — 491 τέκμορ M — 514 κρήνειας nos: κρίνειας AMN vulgo

μηδὲ κατηφὴc
πενία μελάθροιc
ἐγχριμπτομένα
περὶ γᾶν ἕλκοι
φροντίδα θυμοῦ.
ἄμφω ψυχὰν
βρίθει περὶ γᾶν·
ἄμφω δὲ νόου
ἐπίληθα πέλει,
ὅτε μὴ cύ, μάκαρ,
ὀρέγοιc ἀλκάν.
Ναί, πάτερ, ἁγνᾶc
παγὰ cοφίαc,
λάμψον πραπίcιν
ἀπὸ cῶν κόλπων
νοερὸν φέγγοc·
cτράψον κραδίᾳ
ἀπὸ cᾶc ἀλκᾶc
cοφίαc αὐγὰν
καὶ τὰν ἐπὶ cοὶ
ἱερὰν ἀτραπόν·
cύνθημα δίδου
cφραγῖδα τεάν,
κηριτρεφέαc
δαίμοναc ὕλαc
cεύων ζωᾶc
εὐχᾶc τ' ἀπ' ἐμᾶc·
καὶ cῶμα cάου
ἀρτεμὲc, ἐχθραῖc
ἄβατον λώβαιc·
καὶ πνεῦμα cάου
ἀμόλυντον, ἄναξ.
Ἦ μὰν ἤδη
δνοφερὰν ὕλαc
κηλῖδα φέρω·
ἔχομαι δὲ πόθοιc,
χθονίοιc δεcμοῖc.
Cὺ δὲ ῥύcιοc εἶ,
cὺ καθάρcιοc εἶ·
ἀπόλυε κακῶν,
ἀπόλυε νόcων,
ἀπόλυε πέδαc·
cὸν cπέρμα φέρω,
εὐηγενέοc
cπινθῆρα νόου,
ἐc βάθοc ὕλαc
κατακεκλιμένον·
cὺ γὰρ ἐν κόcμῳ
κατέθου ψυχάν,
διὰ δὲ ψυχᾶc
ἐν cώματι νοῦν
ἔcπειραc, ἄναξ.
τὰν cὰν κούραν
ἐλέαιρε, μάκαρ·
κατέβαν ἀπὸ cοῦ
χθονὶ θητεῦcαι·
ἀντὶ δὲ θήccαc
γενόμαν δούλα·
ὕλα με μάγοιc
ἐπέδηcε τέχναιc.
ἔτι μὰν ἔνι μοι
βαιόν τι μένοc
κρυφίαc γλήναc·
οὔπω πᾶcαν
ἔcβεcεν ἀλκάν·
κέχυται δὲ πολὺc
ἐφύπερθε κλύδων,
ἀλαῶπα τιθεὶc
τὰν θεοδερκῆ.
ἐλέαιρε, πάτερ,
κούραν ἱκέτιν,
τὰν πολλάκι δὴ
νοεραῖc ἀνόδοιc
ἐπιβαλλομέναν
λαμυρᾶc ὕλαc
ἵμεροc ἄγχει.
cὺ δὲ λάμψον, ἄναξ,
ἀνάγωγα φάη·
ἅψον δὲ cέλαc
καὶ πυρκαϊάν,
cπέρμα τὸ βαιὸν
αὔξων ἐν ἐμῷ
κρατὸc ἀώτῳ.
θρόνιcόν με, πάτερ,

---

533 κραδίᾳ nos: καρδίαν AMN vulgo — 537 νούcων AMN

φωτὸc ἐν ἀλκᾷ
Ζωηφορίου,
ἵνα χεῖρα φύcιc
οὐκ ἐπιβάλλει,
ὅθεν οὐκέτι γᾶ,
οὐ μοιραία
κλῶcιc ἀνάγκαc
παλίνορcον ἄγει.
λιπέτω, φυγέτω
δολερὰ γένεcιc
θεράποντα τεόν·
ἐμέθεν δὲ, πάτερ,
χθονίου τε κλόνου
πῦρ μέcον εἴη.
νεῦcον, γενέτα,
νεῦcον προπόλῳ
ἤδη νοεροὺc
πετάcαι ταρcούc·
ἤδη φερέτω
cφραγῖδα πατρὸc
ἱκέτιc ψυχά,
δεῖμα μὲν ἐχθροῖc
δαίμοcιν, οἳ γᾶc
ἀπὸ κευθμώνων
ἀναπαλλόμενοι
πνείουcι βροτοῖc
ἀθέουc ὁρμάc,
cύνθημα δὲ coῖc
ἁγνοῖc προπόλοιc,
οἳ κατὰ κλεινοῦ
βένθεα κόcμου
πυρίων ἀνόδων
κληϊδοφόροι,
ἵνα μοι φάεοc
πετάcωcι πύλαc·
ἔτι δ' ἀλεμάταc
ἐπὶ γᾶc ἕρπων
μὴ χθονὸc εἴην·
πυρίων δ' ἔργων
καὶ τῇδε δίδου
μάρτυρα καρπὸν,
ὀμφὰc ἀτρεκεῖc
ὅcα τ' ἐν ψυχαῖc
τὰν ἀμβροcίαν
ἐλπίδα θάλπει.
Μετά/μοι μέλεται
χθονίαc βιοτᾶc·
ἔρρετε λῆμαι
ἀθέων μερόπων,
πτολίων τε κράτη·
ἔρρετε πᾶcαι
ἆται γλυκεραὶ
ἄχαρίc τε χάριc,
οἷcιν ψυχὰν
θωπευομέναν
γᾶ λάτριν ἔχει·
ἅ μέγα δειλὰ
ἰδίων τ' ἀγαθῶν
ἔπιεν λάθαν,
μέχριc ἐγκύρcῃ
φθονερᾷ μερίδι·
δοιὰc γὰρ ἔχει
μαcτροπὸc ὕλα·
ὃc δὲ τραπέζαc
ἐπορεξάμενοc
μελιχρῶν ἔθιγεν,
ἦ μέγα κλαύcει
πικρὰν μερίδα
τῶν ἀντίξων
cυνεφελκομένων·
ὅδε γὰρ χθονίαc
θεcμὸc ἀνάγκαc
διχόθεν θνατοῖc
βίον οἰνοχοεῖ·
τὸ δ' ἀκηράcιον
ἀμιγέc τ' ἀγαθὸν
θεὸc ἢ τὰ θεοῦ.
Μεθύοιcα γλυκεῖ
κρητῆρι γύαc
ἔψαυcα κακῶν,
ἐνέκυρcα πάγᾳ,
ἐδάην ἄταν
ἐπιμηθειάδα·
cτυγέω δὲ νόμουc

648 ἔρρεται MNP — λῆμμα P λύμαι coni. Boiss. — 663 μαcτρωπὸc M

ἀλλοπροcάλλουc,
ἐc τὸν ἀκηδῆ
λειμῶνα πατρὸc.
cπεύδων τανύω
φυγάδαc ταρcούc,
φυγάδαc διδύμων
ὕλαc δώρων.
Ἴδε με, ζωᾶc
νοερᾶc ταμία,
ἴδε cὰν ἱκέτιν
ψυχὰν ἐπὶ γᾶc
νοεραῖc ἀνόδοιc
ἐπιβαλλομέναν·
cὺ δὲ λάμψον, ἄναξ,
ἀνάγωγα φάη
πτερὰ κοῦφα διδούc·
ἅμμα δὲ κόψον,
χάλαcον περόναν
διδύμων παθέων,
οἷcιν ψυχὰν
δολόεccα φύcιc
κάμπτει κατὰ γᾶc·
δόc με φυγοῖcαν
cώματοc ἄταν
θοὸν ἅλμα βαλεῖν
ἐπὶ cὰc αὐλάc,
ἐπὶ cοὺc κόλπουc,
ὅθεν ἁ ψυχᾶc
προρέει παγά.
λιβὰc οὐρανία
κέχυμαι κατὰ γᾶc·
παγᾷ με δίδου,
ὅθεν ἐξεχύθην
φυγὰc ἀλῆτιc.
νεῦcον προγόνῳ
φωτὶ μιγῆναι·
νεῦcον δ' ὑπὸ cοὶ
ταμιευομέναν
cὺν ἄνακτι χορῷ
ἀνάγειν ὁcίωc
νοεροὺc ὕμνουc·
νεῦcον δέ, πάτερ,
φωτὶ μιγεῖcαν
μηκέτι δῦναι
ἐc χθονὸc ἄταν.
ὄφρα δὲ ζωᾶc
ὑλοδιαίτου
δεcμοῖcι μένω,
πραεῖα, μάκαρ,
βόcκοι με τύχα.

IV

Cὲ μὲν ἀρχομέναc,
cὲ δ' ἀεξομέναc,
cὲ δὲ μεccοίcαc,
cὲ δὲ παυομέναc
ἀοῦc ἱερᾶc,
ζαθέαc νυκτὸc
μέλπω, γενέτα,
παίων ψυχῶν,
παίων γυίων,
δῶτορ cοφίαc,
ἐλατὴρ νούcων,
δῶτορ ψυχαῖc
ἀπόνου βιοτᾶc,
ἂν μὴ cτείβει
χθονία φροντίc,
μάτηρ ἀχέων,
μάτηρ παθέων,
ὧν μοι ζωὰ
καθαρὰ μενέτω,
ἵνα τὰν πάντων
κρυφίαν ῥίζαν
ὑμνοῖcα λέγω,
μηδ' ἀπαγωγοῖc
ἄτῃcι θεοῦ
νοcφιζοίμην.
Cέ, μάκαρ, μέλπω,

710—713 = IV 292—295 — 714 οὐρανίουc AM — 718 ἀλήτηc AN ἀλήθηc corr. in ἀλήτηc M — 722 πατρὶ ταμιευομέναν MN ταμιευομέναν A cum ras. ante ταμ. — IV 3 μεccοίcαc nos: μεcοίcαc codd. — 13 βιοτῆc M — 16 ἀρχέων M — 22 ὑμνοῖcα ex εὐμενοῖcα corr. M

κοίρανε κόσμου·
γᾶ σιγάτω
ἐπὶ coῖc ὕμνοιc,
ἐπὶ caῖc εὐχαῖc
εὐφαμείτω
ὅcα κόcμοc ἔχει·
cὰ γὰρ ἔργα, πάτερ·
καταπαυέcθω
ἀνέμων ῥοῖζοc,
ἦχοc δένδρων,
θρόοc ὀρνίθων·
ἥcυχοc αἰθὴρ,
ἥcυχοc ἀὴρ
κλυέτω μολπᾶc·
ὑδάτων δὲ χύcιc
ἄψοφοc ἤδη
cτήτω κατὰ γᾶc.
οἱ δ' ἐμπόδιοι
ἁγίων ὕμνων
κευθμωνοχαρεῖc
καὶ τυμβονόμοι
δαίμονεc ἤδη
φυγέτωcαν ἐμὰν
ὁcίαν εὐχάν·
ἀγαθοὶ δ' ὁπόcοι
μάκαρεc νοεροῦ
πρόπολοι γενέτου
κατέχουcι βάθη
ἄκρα τε κόcμου,
ὕμνων ἵλεῳ
πεύθοιντο πατρόc,
ἵλεῳ δὲ λιτὰc
ἀνάγοιεν ἐμάc.
Μονὰc ὦ μονάδων,
πάτερ ὦ πατέρων,
ἀρχῶν ἀρχά,
παγῶν παγά,
ῥιζῶν ῥίζα,
ἀγαθῶν ἀγαθόν,
ἄcτρων ἄcτρον,
κόcμων κόcμε,
ἰδεῶν ἰδέα,
βύθιον κάλλοc,
κρύφιον cπέρμα,
πάτερ αἰώνων,
πάτερ ἀφθέγκτων
νοερῶν κόcμων,
ὅθεν ἀμβροcία
cταλάοιcα πνοά,
cώματοc ὄγκοιc
ἐπινηξαμένα,
δεύτερον ἤδη
κόcμον ἀνάπτει.
Ὑμνῶ cε, μάκαρ,
καὶ διὰ φωνᾶc,
ὑμνῶ cε, μάκαρ,
καὶ διὰ cιγᾶc·
ὅcα γὰρ φωνᾶc,
τόcα καὶ cιγᾶc
ἀΐειc νοερᾶc.
ὑμνῶ δὲ γόνον
τὸν πρωτόγονον
καὶ πρωτοφαῆ.
Γόνε κύδιcτε
πατρὸc ἀφθέγκτου,
cὲ, μάκαρ, μεγάλῳ
πατρὶ cυνυμνῶ,
καὶ τὰν ἐπὶ coὶ
ὠδῖνα πατρόc,
γόνιμον βουλάν,
μεcάταν ἀρχάν,
ἁγίαν πνοιάν,
κέντρον γενέτου,
κέντρον δὲ κόρου·
αὐτὰ μάτηρ,
αὐτὰ γνωτά,
αὐτὰ θυγάτηρ
μαιωcαμένα
κρυφίαν ῥίζαν·
ἵνα γὰρ προχυθῇ
ἐπὶ παιδὶ πατήρ,
αὐτὰ πρόχυcιc

28 γᾶ δὲ cιγάτω AMN — 33 ἔργα πάτερ nos: ἔργ' ὦ πάτερ AMN, vide Hermanni Elem. metr. p. 370 — 49 φευγέτωcαν AMN — 56 ἵλεων A

εὕρετο βλάϲταν·
ἔϲτη δὲ μέϲα
θεὸϲ ἔκ τε θεοῦ·
[διὰ παῖδά τε καὶ
διὰ τὰν κλεινὰν
πατρὸϲ ἀθανάτου
πρόχυϲιν υἱὸϲ
εὕρετο βλάϲταν.]
Μονὰϲ εἶ τριὰϲ ὤν,
μονὰϲ ἅ γε μένειϲ
καὶ τριὰϲ εἶ δή.
νοερὰ δὲ τομὰ
ἄϲχιϲτον ἔτι
τὸ μεριϲθὲν ἔχει·
προθορὼν δὲ μένει
γόνοϲ ἐν γενέτᾳ,
καὶ πάλιν ἔξω
τὰ πατρὸϲ διέπει
κόϲμοιϲ κατάγων
ὄλβον ζωᾶϲ,
ὅθεν αὐτὸϲ ἔχει·
λόγοϲ, ὃν μεγάλῳ
πατρὶ ϲυνυμνῶ,
νόοϲ ἀρρήτου
τίκτει ϲε πατρόϲ·
καὶ ϲὺ κυηθεὶϲ
λόγοϲ εἶ γενέτου,
πρῶτοϲ πρώταϲ
προθορὼν ῥίζαϲ,
ῥίζα δὲ πάντων
τῶν μετὰ κλεινὰν
τὰν ϲὰν γένναν·
μονὰϲ ἄρρητοϲ,
ϲπέρμα τὸ πάντων
ϲπέρμα ϲε πάντων
ἐϲπέρμηνεν·
ϲὺ γὰρ ἐν πᾶϲι·
διὰ ϲοῦ δὲ φύϲιϲ
ὑπάτα, μεϲάτα,
νεάτα τε θεοῦ
ἀπέλαυϲε πατρὸϲ
ἀγαθῶν δώρων
γονίμου ζωᾶϲ.
Ϲοὶ μὲν ἀγήρωϲ
ἄπονον τροχιὰν
ϲφαῖρα κυλίνδει·
ὑπὸ ϲὰν τάξιν
κύτεοϲ μεγάλου
βριαραῖϲ δίναιϲ
ἑβδομὰϲ ἄϲτρων
ἀντιχορεύει·
τὰ δὲ πολλὰ μίαν
πτύχα καλλύνει
φέγγεα κόϲμου
διὰ ϲὰν βουλάν,
γόνε κύδιϲτε·
ϲὺ γὰρ ἀμφιθέων
κύτοϲ οὐράνιον,
δρόμον αἰώνων
ἄλυτον ϲυνέχειϲ·
ὑπὸ ϲοῖϲ δέ, μάκαρ,
ἁγίοιϲ θεϲμοῖϲ
ἐν ἀπειροβαθοῦϲ
αἴθραϲ λαγόϲι
πολιῶν ἄϲτρων
ἀγέλα νέμεται.
Ϲὺ μὲν οὐρανίοιϲ,
ϲὺ δ᾽ ἐνηερίοιϲ,
ϲὺ δ᾽ ἐπιχθονίοιϲ,
ϲὺ δ᾽ ὑποχθονίοιϲ
ἔργα μερίζειϲ,
ζωάν τε νέμειϲ.
ϲὺ νόου πρύτανιϲ
ταμίαϲ τε θεοῖϲ
θνατῶν θ᾽ ὁπόϲοι
νοερᾶϲ μοίραϲ
ἔϲπαϲαν ὄμβρουϲ·
ϲὺ ψυχοδόταϲ
οἷϲ ἐκ ψυχᾶϲ
τέταται ζωὰ

vv. 112—116 ab interpolatore ad explicandos vv. 105—9 additi esse videntur — 113 τὰν κλεινάν nos: κλεινάν codd. — 114 πν̄ϲ AMN — 118 ἅ γε μένειϲ nos: ἃ δὴ μένει codd. — 118 sq. conf. III 212 sq. — 124 ἐν γενέτᾳ nos: ἐϲ γενέταν codd.

καὶ φύcιc ἀκμῆc·
ἀλαὸν ψυχᾶc
βλάcτημα τεᾶc
κρέμαται cειρᾶc·
χὠπόcα τᾶc cᾶc
cτέρεται πνοιᾶc,
ἀπὸ cῶν κόλπων
δρέπεται cυνοχὰν
πορθμευομέναν
διὰ cᾶc ἀλκᾶc
ἐξ ἀρρήτων
πατρικῶν κόλπων
κρυφίαc μονάδοc,
ὅθεν ὁ ζωᾶc
ὀχετὸc προρέων
φέρεται μέχρι γᾶc
διὰ cᾶc ἀλκᾶc,
δι᾽ ἀτεκμάρτων
νοερῶν κόcμων·
ἔνθεν δέχεται
καταβαίνοιcαν
ἀγαθῶν κράναν
νοεροῦ μορφά,
κόcμοc ὁρατόc.
Ἅλιον οὗτοc
δεύτερον ἔcχεν
ὑcτεροφεγγοῦc
φωτὸc γενέταν,
ὀμματολαμπῆ
τᾶc γινομέναc
καὶ φθειρομέναc
ταμίαν ὕλαc,
υἱοῦ νοεροῦ
τύπον αἰcθητόν,
ἀγαθῶν παροχὰν
ἐγκοcμογενῶν
διὰ cὰν βουλάν,
γόνε κύδιcτε.
Πάτερ ἄγνωcτε,
πάτερ ἄρρητε,
ἄγνωcτε νόῳ,
ἄρρητε λόγῳ,
νόοc ἐccὶ νόου,
ψυχᾶν ψυχά,
φύcιc εἶ φυcίων.
γόνυ cοι κάμπτων,
ἴδε τοῦτο, λάτριc
πίπτω κατὰ γᾶc
ἱκέταc ἀλαόc·
cὺ δέ, φωτοδότα
φωτὸc νοεροῦ,
ἐλέαιρε, μάκαρ,
ἱκέτιν ψυχάν·
cεῦε δὲ νούcουc,
cεῦε μερίμναc
τὰc ψυχοβόρουc,
cεῦε δ᾽ ἀναιδῆ
κύνα τὸν χθόνιον,
δαίμονα γαίαc
ψυχᾶc ἀπ᾽ ἐμᾶc,
εὐχᾶc ἀπ᾽ ἐμᾶc,
ζωᾶc ἀπ᾽ ἐμᾶc,
ἔργων ἀπ᾽ ἐμῶν.
cώματοc ἔξω,
πνεύματοc ἔξω,
πάντων ἔξω
τῶν ἁμετέρων
δαίμων μενέτω·
λιπέτω, φυγέτω
δαίμων ὕλαc,
παθέων ἀλκὰ,
ἀνάγωγον ὁδὸν
διατειχίζων,
τὰc θεοδιφεῖc
βλάπτων ὁρμάc·
ἕταρον δὲ δίδου
ξυνωνὸν, ἄναξ,
ἁγίαc ἅγιον
ἄγγελον ἀλκᾶc,
ἄγγελον εὐχᾶc

---

193 τᾶc cᾶc nos: πετάcαc AMP πάcαc Boiss. — 197 πορθμευομένων MN — 205 = 198 — 211 μορφάν AMN — 218 γενομέναc AMN — 221 υἱοῦ nos: υἱόν codd. — 227 ἄγνωτε A 227 et 229 ἄγνωcτε in ἄγνωτε corr. M — 238 φωτοδότα ex φωτοδόταc corr. M — 243 cεῦε μερίμναc NP: cεῦε δὲ μερ. AM — 248—252 = III 98—102 — 259 an παθέων ἀρχά?

τᾶс θεολαμποῦс,
φίλον ἐсθλοδόταν,
φύλακα ψυχᾶс,
φύλακα ζωᾶс,
εὐχᾶν φρουρόν,
ἔργων φρουρόν·
сῶμα δὲ сώζοι
καθαρὸν νούсων,
πνεῦμα δὲ сώζοι
καθαρὸν λώβαс,
ψυχᾷ δ᾽ ἐπάγοι
παθέων λάθαν,
ἵνα καὶ ζωὰν
τὰν γαιοτραφῆ
τοῖс сοῖс ὕμνοιс
πιαίνηται
ταрсὸс ψυχᾶс·
ἵνα καὶ ζωὰν
τὰν μετὰ μοίραс,
τὰν μετὰ δεсμοὺс
τοὺс χθονοβριθεῖс,
καθαρὰν ὕλαс,
ὅсον ἐξανύω
ἐπὶ сὰс αὐλάс,
ἐπὶ сοὺс κόλπουс,
ὅθεν ἁ ψυχᾶс
προρέει παγά.
Сὺ δὲ χεῖρα δίδου,
сὺ κάλει, сύ, μάκαρ,
ὕλαс ἄναγε
ἱκέτιν ψυχάν.

V

Ὑμνῶμεν κοῦρον νύμφαс,
νύμφαс οὐ νυμφευθείсαс
ἀνδρῶν μοιραίαιс κοίταιс·
ἄρρητοι πατρὸс βουλαὶ
ἔсπειραν Χριсτοῦ γένναν,
ἁ сεμνὰ νύμφαс ὠδὶс
ἀνθρώπου φῆνεν μορφάν,
ὃс θνατοῖсιν πορθμευτὰс
ἦλθεν φωτὸс παγαίου·
ἁ δ᾽ ἄρρητоς сευ βλάсτα
αἰώνων οἶδεν ῥίζαν.
αὐτὸс φῶс εἶ παγαῖον,
сυλλάμψαс᾽ ἀκτὶс πατρί,
ῥήξαс δ᾽ ὀρφναίαν ὕλαν
ψυχαῖс ἐλλάμπειс ἁγναῖс·
αὐτὸс μὲν κόсμου κτίсταс,
κλεινῶν сφαιρωτὰс ἄсτρων,
κέντρων γαίαс ῥιζωτάс,
αὐτὸс δ᾽ ἀνθρώπων сωτήρ.
сοὶ μὲν Τιτὰν ἱππεύει,
ἀοῦс ἄсβεсτоς παγά,
сοὶ δ᾽ ἁ ταυρῶπιс μήνα
τὰν νυκτῶν ὄρφναν λύει
сοὶ καὶ τίκτονται καρποί,
сοὶ καὶ βόсκονται ποῖμναι.
ἐκ сᾶс ἀρρήτου παγᾶс
ζείδωρον πέμπων αἴγλαν,
πιαίνειс κόсμων ταрсούс·
ἐκ сῶν βλάсτηсεν κόλπων
καὶ φῶс καὶ νοῦс καὶ ψυχά·
τὰν сὰν οἴκτειρον κούραν
γυίοιс εἱρχθεῖсαν θνατοῖс,
μοίραс θ᾽ ὑλαίοιс μέτροιс·
νούсων ἐκсώζοιс λώβαс
ἀсκηθῆ γυίων ἀλκάν.
Νεῦсον μὲν μύθοιс πειθώ,
νεῦсον δ᾽ ἔργοιсιν κῦδος
ἀρχαίαιс πρέψαι φάμαιс
τᾶс Κυράναс καὶ Сπάρταс·
λύπαιс δ᾽ ἄсτιπτος ψυχὰ
πραεῖαν ζωὰν ἕλκοι
θρέπτειραν, διссὰс γλήναс
ἐс сὸν φέγγος τείνοιсα,
ὡс ἐξ ὕλαс φοιβαθεὶс
ἀсτρέπτουс οἴμουс сπεύсω,
φύξηλιс γαίαс μόχθων,

276 sq. om. AP - 282 θεοτραφῆ A γεοτρεφῆ N γαιοτρεφῆ in γαιοτραφῆ corr. M — 291 fort. ὅταν — 292—295 = III 710—713 — V 5 ἔсπειραν G. Hermann: ἐсπέραν codd. — 8 ἐν θνατοῖсι MN — 10 ἄρρητος εὐβλάсτα MN — 13 сυλλάψαс MN — 34 λαβὰс MN — 41 πραεῖαν ἕλκοι ζωὰν MN — 43 τείνοιсα φέγγος M

μιχθῆναι ψυχᾶς παγᾷ.
Τοίαν ἄχραντον ζωὰν
τῷ cῷ κραίνοις φορμικτῇ,
εὖτ᾽ ἄν coι cτέλλων μολπάν,
τὰν cὰν κυδαίνων ῥίζαν,
μήκιcτον πατρὸc κῦδοc,
καὶ τὰν cύνθωκον πνοιὰν
μέccαν ῥίζαc καὶ βλάcταc,
καὶ πατρὸc μέλπων ἀλκὰν
τοῖc coῖc ὕμνοιc ἀμπαύω
κλεινὰν ὠδῖνα ψυχᾶc.
Χαίροιc, ὦ παιδὸc παγά,
χαίροιc, ὦ πατρὸc μορφά·
χαίροιc, ὦ παιδὸc κρηπίc,
χαίροιc, ὦ πατρὸc cφρηγίc·
χαίροιc, ὦ παιδὸc κάρτοc,
χαίροιc, ὦ πατρὸc κάλλοc·
χαίροιc δ᾽ ἄχραντοc πνοιά,
κέντρον κούρου καὶ πατρόc·
τάν μοι πέμποιc cὺν πατρὶ
ἄρδοιcαν ψυχᾶc ταρcούc,
κράντειραν θείων δώρων.

VI

Μετὰ παγᾶc ἁγίαc αὐτολοχεύτου
ἀρρήτων ἑνοτήτων ἐπέκεινα
θεὸν ἄμβροτον, θεοῦ κύδιμον υἷα,
μόνον ἐκ μόνου πατρὸc παῖδα θορόντα
cτεφανώcομεν cοφοῖc ἄνθεcιν ὕμνων,
ὅν βουλᾶc πατρικᾶc ἄφραcτοc ὠδὶc
ἀγνώcτων ἀνέδειξε παῖδα κόλπων,
ἃ πατρὸc λοχίουc ἔφηνε καρποὺc
καὶ φήναcα φάνη μεccοπαγὴc νοῦc·
ἐν παγᾷ δὲ μένουcι καὶ χυθέντεc.
cοφία νόου πατρόc, κάλλεοc αὐγά,
cοὶ τεχθέντι πατὴρ ἔνευcε τίκτειν,
cὺ τὸ κρυπτὸν εἶ πατρὸc cπέρμα
προλάμπων·
cὲ γὰρ ἀρχὰν γενέταc ἔδωκε κόcμοιc,
κατάγειν ἐκ νοερῶν cώμαcι μορφάc·
cὺ μὲν οὐρανοῦ cοφὰν ἄντυγα νωμᾷc,
τὰν δ᾽ ἄcτρων ἀγέλαν ἀεὶ νομεύειc·
cὺ δὲ τᾶc ἀγγελικᾶc, ἄναξ, χορείαc
καὶ τᾶc δαιμονίαc φάλαγγοc ἄρχειc,
cὺ δὲ καὶ φύcιν φθιτὰν ἀμφιχορεύειc,
ἀμέριcτον περὶ γᾶν πνεῦμα μερίζειc,
καὶ παγᾷ τὸ δοθὲν πάλιν cυνάπτειc,
θνατοὺc ἐκ θανάτου λύων ἀνάγκαc.
Ἱλήκοιc ἐπὶ cῶν cτέμμαcιν ὕμνων,
βιοτᾶc ὑμνοπόλῳ νέμων γαλάναν·
εὐρίπων προχοὰν cτᾶcον ἀλῆτιν,
τερcαίνων ὀλοοὺc κλύδωναc ὕλαc·
ψυχᾶc καὶ μελέων ἔρυκε νούcουc·
παθέων οὐλομέναν κοίμιcον ὁρμάν·
πλούτου καὶ πενίαc ἄλαλκε κῆραc·
ἔργοιc κυδαλίμαν ὄπαccον ὀμφάν·
ἐν λαοῖc ἀγαθὰν ἄνοιγε φάμαν
πειθοῦc πραϋλόγῳ cτέφων ἀώτῳ,
ἵνα μοι νόοc δρέπῃ cχολὰν ἀκύμων,
μηδ᾽ ἐν ταῖc χθονίαιc cτένω μερίμναιc·
ἀλλ᾽ ἐκ cῶν ὀχετῶν ὑψιφορήτων
ὠδῖcιν cοφίαc νόον κατάρδω.

VII

Πρῶτοc νόμον εὑρόμαν
ἐπὶ cοί, μάκαρ, ἄμβροτε,

51 τὰν cὰν κυδαίνων ῥίζαν om. M m. pr. — 65 cf. IV 99 sq. — κόρου MN — VI 3 ἄμβροτον AP: ἀμβρότου N, utrumque M — 4 υἷα ex παῖδα corr. M, κύδιμον παῖδα in ras. A, cuius cod. multifarias hoc in carmine correcturas ad numeros difficiliores expediendos factas iam silebo — 5 cτεφανώcομεν MNP: cτεφανώcω A, unde cτεφανώcω cε G. Hermannus El. metr. p. 490 coniecit — cεμνοῦc A — 6 ὠδὶc ἄφραcτοc M — 7 ἄγνωτον A ἀγνώcτων corr. in ἄγνωτον M — παῖδα ἀνέδειξε AM — 8 λοχίουc corr. in λοχία M — 9 μεccοπαγήc ANP: μεccοπαγεῖc M — 12 ἐπένευcε θεόc· cύ A — 13 πατρὸc εἶ κρυπτόμενον A — προλάμπων N: προcλάμπων M, om. A — 16 cοφὰν μὲν οὐρανοῦ M — 18 cὺ ὦναξ χορείαc τᾶc ἀγγελικᾶc, sup. lin. addito ὦναξ M — 19 τᾶc om. M — 20 θνητάν A, M ex corr. — 23 ἀνάγκαc λύων M — 26 cτᾶcον P: cτῆcον A, M ex corr. cτάc N — 28 ἔρυκε in ἐρύκοιc corr. M — 30 κῆραc ἄλαλκε M — 31 ὄπαccον ὀμφὰν nos: ὀμφὰν ὀπάcων MN ὀμφὰν ὀπάcαιc A Boiss. — 32 ἄνοιγε corr. in ἄνυε M — 33 πραυλόγου cτέφων M — 34 δρέποι MN — 35 cτένω AP: cτένων MN

γόνε κύδιμε παρθένου,
Ἰηϲοῦ Ϲολυμήϊε,
νεοπαγέϲιν ἁρμογαῖϲ
κρέξαι κιθάραϲ μίτουϲ.
Ἀλλ᾽ εὐμενέοιϲ, ἄναξ,
καὶ δέχνυϲο μουϲικὰν
ἐξ εὐαγέων μελῶν.
ὑμνήϲομεν ἄφθιτον
θεὸν υἷα θεοῦ μέγαν,
αἰωνοτόκου πατρὸϲ
τὸν κοϲμογόνον κόρον,
τὰν παντομιγῆ φύϲιν,
ϲοφίαν ἀπερείϲιον,
τὸν ἐπουρανίοιϲ θεόν,
τὸν ὑποχθονίοιϲ νέκυν.
Ἐχύθηϲ ὅτ᾽ ἐπὶ χθονὶ
βροτέαϲ ἀπὸ νηδύοϲ,
μάγοϲ ἁ πολύφρων τέχνα
ἐξ ἀϲτέροϲ ἀντολᾶϲ
θάμβηϲεν ἀμήχανοϲ,
τί τὸ τικτόμενον βρέφοϲ,
τίϲ ὁ κρυπτόμενοϲ θεόϲ,
θεὸϲ ἢ νέκυϲ ἢ βαϲιλεύϲ·
ἄγε δῶρα κομίζετε
ϲμύρνηϲ ἐναγίϲματα,
χρυϲοῦ τ᾽ ἀναθήματα,
λιβάνου τε θύη καλά.
θεὸϲ εἶ, λίβανον δέχου·
χρυϲὸν βαϲιλεῖ φέρω·
ϲμύρνη τάφοϲ ἁρμόϲει.
Καὶ γᾶν ἐκάθηραϲ,
καὶ πόντια κύματα,
καὶ δαιμονίαϲ ὁδούϲ,
ῥαδινὰν χύϲιν ἀέροϲ,
καὶ νερτερίουϲ μυχοὺϲ,
φθιμένοιϲι βοηθόοϲ
θεὸϲ εἰϲ ἀΐδην ϲταλείϲ.
Ἀλλ᾽ εὐμενέοιϲ, ἄναξ,
καὶ δέχνυϲο μουϲικὰν
ἐξ εὐαγέων μελῶν.

VIII

Ὑπὸ δώριον ἁρμογὰν
ἐλεφαντοδέτων μίτων
ϲτάϲω λιγυρὰν ὄπα
ἐπὶ ϲοί, μάκαρ, ἄμβροτε,
γόνε κύδιμε παρθένου·
ϲὺ δέ μου βιοτὰν ϲάου
παναπήμονα, κοίρανε,
λύπαιϲ ἄβατον διδοὺϲ
καὶ νύκτα καὶ ἁμέραν.
λάμποιϲ πραπίϲιν ϲέλαϲ
νοερᾶϲ ἀπὸ παγᾶϲ·
ϲθένοϲ ἀρτεμέων μελῶν
καὶ κῦδοϲ ἐπ᾽ ἔργμαϲι
νεότατι νέμοιϲ ἐμᾷ·
λιπαρὸν δὲ φέροιϲ ἔτοϲ
ἐϲ γήραοϲ ἁδονάν,
ἐρίτιμον ἀέξων
πινυτὰν ϲὺν ὑγείᾳ.
γνωτὸν δὲ φυλάϲϲοιϲ,
τόν μοι νέον, ἄφθιτε,
ἤθη χθονίαν πύλαν
παραμειβόμενον ποδὶ
ἄψορρον ἀνήγαγεϲ,
ἐμὰ κήδεα καὶ γόουϲ,
ἐμὰ δάκρυα καὶ φρενῶν
ϲβέϲαϲ αἰθομέναν φλόγα·
ἐβίωϲαϲ καὶ νέκυν
διὰ ϲὸν, πάτερ, ἱκέταν.
γνωτάν τε ϲυνωρίδα
τεκέων τε φυλάϲϲοιϲ,
ὅλον ἡϲυχίδαν δόμον
ὑπὸ ϲᾷ χερὶ κρύπτοιϲ·
καί μοι ζυγίων, ἄναξ,
ξυνήονα δεμνίων

VII 5 νεοπαγαῖϲιν A — 15 ἀπειρέϲιον AMN — 16 et 17 om. P — 25 nescio an lateat ἢ βαλήν — 26 κομίζεται A in ras. P — 32 fort.: μύρον τάφῳ — 36 et 37 om. P — 40—42 = 7—9 — VIII 2 μίτων λύρα: N — 8 λύπαϲ A — 12 ἀρτιμελέων A, M var. lect. — 13 ἐν P, M var. lect. — 16 ἡδονήν A οὐδόν coni. Boiss. — 18 ὑγιείᾳ P — 27 fort. ἐβιώϲαο — 30 τεκέων φυλάττοιϲ A — 31 ἡϲυχίδα P, qua in lectione nomen proprium latere videtur — 32 fort. κρύπτων — 33 ζυγίων in ζυγίαν corr. M

ἀπόνουcον, ἀπήμονα,
ἐρίηρον, ὁμόφρονα,
κρυφίων ἀδαήμονα
ὀάρων ἄλοχον cάου·
ὅcιον δ᾽ ἐφέποι λέχος
πανακήρατον, εὐαγές,
ἀδίκοις ἄβατον πόθοις.
ψυχὰν δὲ λυθεῖcαν
χθονίου βιότου πέδας
ἐξαίνυco πημάτων
καὶ λευγαλέας ἄτας.
cὺν δ᾽ εὐαγέων χοροῖc
ὕμνους ἀνάγειν δίδου
ἐπὶ κύδεϊ cοῦ πατρὸς
καὶ κάρτεϊ cῷ, μάκαρ.
πάλιν ὑμνοπολεύcω,
πάλι cοι μέλος ᾄcω,
τάχα καὶ κιθάραν πάλιν
πανακήρατον ἁρμόcω.

IX

Πολυήρατε, κύδιμε,
cέ, μάκαρ, γόνε παρθένου
ὑμνῶ Cολυμηΐδος,
ὃς τὰν δολίαν πάγαν,
χθόνιον μεγάλων ὄφιν
πατρὸς ἤλαcας ὀρχάτων·
ὃς καρπὸν ἀπώμοτον
τροφὸν ἀργαλέου μόρου
πόρεν ἀρχεγόνῳ νοεράν.
στεφανηφόρε, κύδιμε,
cέ, πάτερ, παῖ παρθένου
ὑμνῶ Cολυμηΐδος.
Κατέβας μέχρι καὶ χθονὸς
ἐπίδημος ἐφαμέροις,
βρότεον φορέων δέμας.
κατέβας δ᾽ ὑπὸ Τάρταρα,
ψυχῶν ὅθι μυρία
θάνατος νέμεν ἔθνεα.
φρίξεν cε γέρων τότε
Ἀΐδας ὁ παλαιγενής,
καὶ λαοβόρος κύων
ἀνεχάccατο βηλοῦ·
λύcας δ᾽ ἀπὸ πημάτων
ψυχῶν ὁcίους χοροὺς
θιάcοιcιν ἀκηράτοις
ὕμνους ἀνάγεις πατρί.
στεφανηφόρε, κύδιμε,
cέ, πάτερ, παῖ παρθένου
ὑμνῶ Cολυμηΐδος.
Ἀνιόντα cε, κοίρανε,
τὰ κατ᾽ ἠέρος ἄcπετα
τρέcεν ἔθνεα δαιμόνων,
θάμβηcε δ᾽ ἀκηράτων
χορὸς ἄμβροτος ἀcτέρων·
αἰθὴρ δὲ γελάccας,
cοφὸς ἁρμονίας πατήρ,
ἐξ ἑπτατόνου λύρας
ἐκεράccατο μουcικὰν
ἐπινίκιον ἐς μέλος.
μείδηcεν Ἑωcφόρος,
ὁ διάκτορος ἁμέρας,
καὶ χρύcεος Ἕcπερος,
κυθερήϊος ἀcτήρ·
ἁ μὲν κερόεν cέλας
πλήcαcα ῥόου πυρὸς
ἀγεῖτο cελάνα,
ποιμὴν νυχίων θεῶν·
τὰν δ᾽ εὐρυφαῆ κόμαν
Τιτὰν ἐπετάccατο
ἄρρητον ὑπ᾽ ἴχνιον·
ἔγνω δὲ γόνον θεοῦ,
τὸν ἀριcτοτέχναν νόον,
ἰδίου πυρὸς ἀρχάν.
Cὺ δὲ ταρcὸν ἐλάccας
κυανάντυγος οὐρανοῦ

45 fort. ἅλας — 52 κιθάραν ἀνάcω A — 53 πανακήρατον Boiss. ex cod. P ut videtur: πάλιν ἀκήρατον AMN — ἁρμόcει N ἁρμοcείω M — IX 5 μέγαν P — vv. 7 11 om. MN, add. ex cod. P Boissonade — 9 νοεράν cod. P: fort. φθοράν — v. 11 corruptum reliquimus — 13 κατέβας P: καταβάς MN — v. 15 om. MN ex P add. Boiss. cod. scriptura βρότειον φέρων emendata — post v. 21 versiculum ὁ βαρυcθενὴς δημοβόρος add. P — 24 ψυχᾶν P quo recepto v. 17 quoque doricam formam revocavit Boiss. — 25 ἐν ἀκηράτοις maluit Boiss. — 27—29 om. MN, ex P add. Boiss. — στεφανηφόρος P — 28 πάτερ om. P

ὑπερήλαο νώτων,
cφαίρῃcι δ᾽ ἐπέπταc
νοεραῖcιν ἀκηράτοιc,
ἀγαθῶν ὅθι παγά,
cιγώμενοc οὐρανόc·
ἔνθ᾽ οὔτε βαθύρροοc
ἀκαμαντοπόδαc χρόνοc
χθονὸc ἔκγονα cύρων,
οὐ κῆρεc ἀναιδέεc
βαθυκύμονοc ὕλαc·
ἀλλ᾽ αὐτὸc ἀγήραοc
αἰὼν ὁ παλαιγενήc,
νέοc ὢν ἅμα καὶ γέρων
τᾶc ἀενάω μονᾶc
ταμίαc πέλεται θεοῖc.

(X)

Μνώεο Χριcτέ,
υἱὲ θεοῖο
ὑψιμέδοντοc,
οἰκέτεω cεῦ,
κῆρ᾽ ἀλιτροῖο
τάδε γράψαντοc·
καί μοι ὄπαccον
λῦcιν παθέων
κηριτρεφέων,
τά μοι ἐμφυῆ
ψυχᾷ ῥυπαρᾷ·
δὸc δὲ ἰδέcθαι,
cῶτερ Ἰηcοῦ,
ζαθέαν αἴγλαν
cὰν, ἔνθα φανεὶc
μέλψω ἀοιδὰν
παίονι ψυχᾶν,
παίονι γυίων,
πατρὶ cὺν μεγάλῳ
πνεύματί θ᾽ ἁγνῷ.

ΓΡΗΓΟΡΙΟΥ ΤΟΥ ΝΑΖΙΑΝΖΗΝΟΥ ΥΜΝΟΙ ΚΑΙ ΩιΔΑΙ.

I

ΥΜΝΟϹ ЄΙϹ ΧΡΙϹΤΟΝ.

Ϲὲ τὸν ἄφθιτον μονάρχην
δὸc ἀνυμνεῖν, δὸc ἀείδειν,
τὸν ἄνακτα, τὸν δεcπότην,
δι᾽ ὃν ὕμνοc, δι᾽ ὃν αἶνοc,
δι᾽ ὃν ἀγγέλων χορεία,
δι᾽ ὃν αἰῶνεc ἄπαυcτοι,
δι᾽ ὃν ἥλιοc προλάμπει,
δι᾽ ὃν ὁ δρόμοc cελήνηc,
δι᾽ ὃν ἄcτρων μέγα κάλλοc,
δι᾽ ὃν ἄνθρωποc ὁ cεμνὸc
ἔλαχεν νοεῖν τὸ θεῖον,
λογικὸν ζῶον ὑπάρχων·
cὺ γὰρ ἔκτιcαc τὰ πάντα,
παρέχων τάξιν ἑκάcτῳ,
cυνέχων τε τῇ προνοίᾳ·
λόγον εἶπαc, πέλεν ἔργον
ὁ λόγοc coῦ, θεὸc υἱόc·
ὁμοούcιοc γάρ ἐcτιν,

57 ἐπέπταc nos: ἐπετάcθηc codd. — 69 ἐννάω MN — X 4 cεῦ nos coll. V 10: coῦ Boissonade praeeunte Hermanno Elem. metr. p. 370: cέο AM — 6 γράψαντοc τάδε A — 17 ψυχᾶν παίονι codd., corr. Boiss. collato IV 8.

Gregorii in carminibus recognoscendis usi sumus cod. Monacensi bombycino n. 416 s. XIII (G), quo in codice alterum tertium ultimum carmen non extat; hoc ultimo in carmine praeter editionem Billianam cod. Vindobonensem bombycinum theol. n. 18 s. XIII (V) et cod. Monacensem chartaceum n. 323 s. XVI (H) contulimus. — I ὕμνοc διὰ λυρικοῦ μέτρου G — 3 δυνάcτην coni. Boissonade — 5 χορεῖαι Boiss.

ὁμότιμος τῷ τεκόντι,
ὃς ἐφήρμοσεν τὰ πάντα,
ἵνα πάντων βασιλεύσῃ·
περιλαμβάνον δὲ πάντα
ἅγιον πνεῦμα τὸ θεῖον
προνοούμενον φυλάσσει.
Τριάδα ζῶσαν ἐρῶ σε,
ἕνα καὶ μόνον μονάρχην,
φύσιν ἄτρεπτον, ἄναρχον,
φύσιν οὐσίας ἀφράστου,
σοφίας νοῦν ἀνέφικτον,
κράτος οὐρανῶν ἄπαυστον,
ἄτερ ἀρχῆς, ἀπέραντον,
ἀκατασκόπητον αὐγήν,
ἐφορῶσαν δὲ τὰ πάντα,
βάθος οὐδὲν ἀγνοοῦσαν
ἀπὸ γῆς μέχρις ἀβύσσου.
Πάτερ, ἵλεως γενοῦ μοι,
διὰ παντὸς θεραπεύειν
τὸ σέβασμα τοῦτο δός μοι.
τὰ δ᾽ ἁμαρτήματα ῥύψον,
τὸ συνειδὸς ἐκκαθαίρων
ἀπὸ πάσης κακονοίας,
ἵνα δοξάσω τὸ θεῖον,
ὁσίας χεῖρας ἐπαίρων,
ἵνα Χριστὸν εὐλογήσω,
γόνυ κάμπτων ἱκετεύσω,
τότε προσλαβεῖν με δοῦλον,
ὅταν ἔλθῃ βασιλεύσων.
Πάτερ, ἵλεως γενοῦ μοι,
ἔλεον καὶ χάριν εὕρω,
ὅτι δόξα καὶ χάρις σοι
ἄχρις αἰῶνος ἀμέτρου.

II

ΥΜΝΟΣ ΕΙΣ ΘΕΟΝ.

Unecht / Keydell

Pl.-Norden AK II. 846.

gnisia, sa N.F. Marcq, Emerita 36 (1968) 231-45.

Ὦ πάντων ἐπέκεινα· τί γὰρ θέμις ἄλλο σε μέλπειν;
πῶς λόγος ὑμνήσει σε; σὺ γὰρ λόγῳ οὐδενὶ ῥητός.
πῶς νόος ἀθρήσει σε; σὺ γὰρ νόῳ οὐδενὶ ληπτός,
μοῦνος ἐὼν ἄφραστος, ἐπεὶ τέκες ὅσσα λαλεῖται,
μοῦνος ἐὼν ἄγνωστος, ἐπεὶ τέκες ὅσσα νοεῖται.
Πάντα σε καὶ νοέοντα καὶ οὐ νοέοντα γεραίρει·
ξυνοὶ γάρ τε πόθοι, ξυναὶ δ᾽ ὠδῖνες ἁπάντων
ἀμφί σε, σοὶ δὲ τὰ πάντα προσεύχεται· εἰς σὲ δὲ πάντα,
σύνθεμα σὸν νοέοντα, λαλεῖ σιγώμενον ὕμνον.
Σοὶ ἔνι πάντα μένει· σὺ δ᾽ ἀθρόα πάντα θεάζεις
καὶ πάντων τέλος ἐσσὶ, καὶ εἷς καὶ πάντα καὶ οὐδείς,
οὐχ ἓν ἐών, οὐ πάντα· πανώνυμε, πῶς σε καλέσσω,
τὸν μόνον ἀκλήϊστον, ὑπερνεφέας δὲ καλύπτρας
τίς νόος οὐρανίδης εἰσδύσεται; ἵλαος εἴης·
ὦ πάντων ἐπέκεινα, τί γὰρ θέμις ἄλλο σε μέλπειν;

III

ΥΜΝΟΣ ΕΙΣ ΧΡΙΣΤΟΝ

μετὰ τὴν σιωπὴν ἐν τῷ Πάσχα.

Χριστὲ ἄναξ, σὲ πρῶτον, ἐπεὶ λόγον ἠέρι δῶκα,
δηναιὸν κατέχων, φθέγξομ᾽ ἀπὸ στομάτων,

24 φυλάσσῃ G — 30 ἄπταιστον ed. Billiana — 39 ῥίψον G — 45 κάμπτον G — 46 ὅτε G — 47 ἔλθῃς G — II 2 ῥητὸς nos: ῥητὸν Bill. — 8 σοὶ nos: σύ Bill. — 10 θεάζεις nos: θεάζει Bill.

ἁγνοτάτου ἱερῆος ἁγνὸν θύος, εἰ θέμις εἰπεῖν,
τόνδε λόγον προχέων ἡμετέροιο νόου.
Πατροφαὲς μεγάλοιο νόου λόγε, φέρτερε μύθου,
φωτός τ' ἀκροτάτου φῶς ἄκρον, οἰογόνε,
εἰκὼν ἀθανάτοιο πατρὸς, καὶ σφρηγὶς ἀνάρχου,
πνεύματι τῷ μεγάλῳ συμφαὲς, εὐρυμέδον,
αἰῶνος πείρημα, μεγακλέες, ὀλβιόδωρε,
ὑψίθρον', οὐράνιε, πανσθενὲς ἄσθμα νόου,
νωμητὰ κόσμοιο, φερέσβιε, δημιοεργὲ
ὄντων, ἐσσομένων· σοὶ γὰρ ἅπαντα πέλει,
ὃς κόσμοιο θέμεθλα, καὶ ὁππόσα ἐστὶ, θέλοντος
δησάμενος φορέεις νεύμασιν ἀπλανέως.
Σοὶ μὲν, ἄναξ, Φαέθων ὑψίδρομος ἄστρα καλύπτει,
κύκλον ὑπερτέλλων ἔμπυρον, ὡς σὺ νόας.
σοὶ ζώει φθινύθει τε ἀμοιβαδὶς ὄμμα τὸ νυκτός,
μήνη πλησιφαὴς αὖθις ἐπερχομένη.
σοὶ δὲ ζωοφόρος τε κύκλος καὶ μέτρα χορείης
ὥραις μέτρα φέρει ἤπια κιρναμέναις.
ἀπλανέες τε πλάνοι τε παλίμπορον ἀΐσσοντες
ἀστέρες ἠγαθέης εἰσὶ λόγος σοφίης.
Σὸν φάος εἰσὶν ἅπαντες, ὅσοι νόες οὐρανίωνες
μέλπουσιν τριάδος δόξαν ἐπουρανίης.
σὸν βροτὸς αὖ κλέος ἐστὶν, ὃν ἄγγελον ἐνθάδ' ἔθηκας
ὑμνοπόλον τῆς σῆς, ὦ φάος, ἀγλαΐης.
Ἄμβροτέ μοι, βρότεέ τε παλιγγενὲς, ὕψος ἄσαρκον,
ὑστάτιον θνητῶν πήμασι σαρκοφόρε,
σοὶ ζῶ, σοὶ λαλέω, σοὶ δ' ἔμπνοος εἰμὶ θυηλή,
ἣ μούνη κτεάνων λείπετ' ἀφ' ἡμετέρων·
σοὶ καὶ γλῶσσαν ἔδησα, καὶ οὔασι μῦθον ἔλυσα·
λίσσομαι, ἀλλὰ πόροις ἀμφότερ' εὐαγέως.
Φθέγξομαι, ὅσσ' ἐπέοικεν· ἃ δ' οὐ θέμις, οὐδὲ νοήσω.
ῥεύσω μαργάρεον, βόρβορον ὠσάμενος.
χρυσὸν ἀπὸ ψαμάθοιο, ῥόδον κραναῆς ἀπ' ἀκάνθης,
λέξομ' ἀπ' ἀσταχύων σῖτον, ἀφεὶς καλάμην.
Ταῦτά σοι ἡμετέροιο θαλύσια, Χριστὲ, πόνοιο
γλῶσσ' ἀπερευγομένη πρῶτον ἀνῆψεν ἔπος.
Σήμερον ἐκ νεκύων Χριστὸς μέγας, οἷσιν ἐμίχθη,
ἔγρετο καὶ θανάτου κέντρον ἀπεσκέδασε,
καὶ ζοφεροὺς πυλεῶνας ἀμειδήτου Ἀΐδαο
ῥήξατο καὶ ψυχαῖς δῶκεν ἐλευθερίην.

III 8 εὐρυμέδου Bill. — 27 βρότεέ τε nos: βρότε εἶτε Bill. — 41 ζοφερούς Bill: ζωφόρους Dan. typothetarum, ut videtur, errore.

cήμερον ἐκ τύμβοιο θορὼν μερόπεccι φαάνθη,
οἷc γένεθ', οἷcι θάνεν, οἷc ἔγρετ' ἐκ νεκύων,
ὥc κε παλιγγενέεc τε καὶ ἐκ θανάτοιο φυγόντεc
cοὶ cυναειρώμεcθ' ἔνθεν ἀνερχομένῳ.
cήμερον αἰγλήειc cε μέγαc χορὸc ἀμφιγέγηθεν
ἀγγελικὸc, μέλπων ὕμνον ἐπιcτέφιον.
cήμερον ἦχον ἔπνευcα μεμυκότα χείλεα cιγῇ
λύcαc, ἀλλὰ μ' ἔχειc ὑμνοπόλον κιθάρην.
Νῷ νόον ἔνδον ἔρεξα, λόγῳ λόγον· αὐτὰρ ἔπειτα
ῥέξω καὶ μεγάλῳ πνεύματι, ἣν ἐθέλῃ.

IV

ΕΙC ΤΗΝ ΕΑΥΤΟΥ ΨΥΧΗΝ.

Τί cοι θέλειc γενέcθαι;
ψυχὴν ἐμὴν ἐρωτῶ.
τί cοι μέγ' ἢ τί μικρὸν
τῶν τιμίων βροτοῖcι;
Ζήτει μόνον τι λαμπρόν,
καὶ δώcομεν προθύμωc.
Θέλειc τὰ Γύγεώ cοι
τοῦ Λυδίου γενέcθαι;
καὶ δακτύλῳ τυραννεῖν,
τὴν cφενδόνην ἑλίccων,
κρύπτουcαν, εἰ κρύπτοιτο,
φαίνουcαν, εἰ φαίνοιτο;
Θέλειc τὰ Μίδεώ cοι
τοῦ πλουcίωc θανόντοc;
ᾧ χρυcὸc ἦν τὰ πάντα,
χρυcοῦν φέροντα λιμόν,
εὐχῆc δίκην ἀμέτρου.
Θέλειc λίθουc διαυγεῖc,
πλάτη τε γῆc λιπώcηc,
καὶ ποιμνίων ἀριθμοὺc
βοῶν τε καὶ καμήλων;
Οὐ ταῦτα δώcομέν cοι·
λαβεῖν γὰρ οὐδὲ κρεῖccον·
ἀλλ' οὐδ' ἔμοιγ' ἀνυcτόν.
ἔρριψα γὰρ μερίμναc,
ἀφ' οὗ θεῷ προcῆλθον.
Θέλειc θρόνουc τε κἀρχάc,
καιροῦ φρύαγμα πῖπτον;
ἵν' αὔριον καθεcθῇc
κάτω βλέπων ταπεινόν,
ἄλλου τραχηλιῶντοc,
ὃc ἦν παραcτάτηc cοι
τυχὸν δὲ καὶ κακῶν τιc.
Θέλειc γάμῳ δεθῆναι,
βλακεύμαcιν ἀνάγνοιc,
καιροῖc τε cυcτραφῆναι;
θέλειc νόcον γλυκεῖαν,
εὐτεκνίαc μέριμναν;
εὐτεκνίαν δ' ἂν εἴπω
δυcτεκνίαν, τί φήcειc;
Θέλειc λόγοιc βοᾶcθαι,
καὶ cυλλέγειν θέατρα;
ποθεῖc νόμουc ταράccειν
οὐκ ἐνδίκοιc παλαιcμοῖc;
φέρειν τε καὶ φέρεcθαι
πρὸ βημάτων ἀθέcμων;
Αἰχμὴν θέλειc τινάccειν,
πνέων ἀρήϊόν τι;
καὶ cτέμματ' ἐξ ἀγώνων
θηροκτόνον τε κάρτοc;
Ποθεῖc κρότουc πολίχνηc
καὶ χάλκεοc τυποῦcθαι;
Cκιὰν θέλειc ὀνείρων,
μεταρρέουcαν αὖραν,

52 ῥέξω nos: ῥήξω Bill. — IV εἰc τὴν ἑαυτοῦ ψυχήν. cτίχοι ἰμίαμβοι G — 7 Γύγεωc et 13 Μίδεωc G — 11. 12 κρύβοιτο et φάνοιτο tentavit Boissonade — 16 χρυcοῦν πορίζων λιμόν G fortasse vere, conf. vv. 11. 12. 138. 145. 167. 169 — 23 λῷον ed. Bill. — 32 cου G — 36 δέ ed. Bill. — 43 πιπράcκειν ed. Bill. — 51 κρότουc ἐν ἄcτει ed. Bill.

ῥοῖζον βέλουϲ ἀνίχνου,
ψόφον χειρὸϲ κροτούϲηϲ.
τί γὰρ μέγ᾽ εὖ φρονοῦϲι
τῶν ϲήμερον μὲν ὄντων,
ἐϲ αὔριον δ᾽ ἀπόντων,
ὧν καὶ κακοῖϲ μέτεϲτιν,
ὧν οὐ ϲυνέρχεταί τι
ἐντεῦθεν ἐξιοῦϲι;
Τί οὖν, ἐπεὶ τάδ᾽ οὐχί,
τί ϲοι θέλειϲ γενέϲθαι;
θέλειϲ θεὸϲ γενέϲθαι,
θεὸϲ θεοῦ μεγίϲτου
παραϲτάτηϲ φαεννόϲ,
ϲὺν ἀγγέλοιϲ χορεύων;
Ἴθι, πρόβαινε ταρϲοῖϲ
ὀξυπτέρου μενοινῆϲ
κυκλουμένη πρὸϲ ὕψοϲ.
ἐγὼ πτερὸν καθαίρω,
ἐγὼ λόγοιϲ ἐπαίρω,
ὡϲ εὔπτερόν τιν᾽ ὄρνιν
ἐϲ αἰθέρα προπέμψω.
Ϲὺ δ᾽ εἰπέ μοι, κάκιϲτον
ὦ ϲαρκίον δυϲῶδεϲ,
ἐπεὶ ϲυνεζύγην ϲοι,
ἡ δεϲπότιϲ μαγείρῳ,
τί ϲοι θέλειϲ γενέϲθαι
πρὸϲ τὸ πνοῇ κρατεῖϲθαι;
οὐ γὰρ πλέον χρεωϲτῶ,
κἂν πόλλ᾽ ἔχειν βιάζῃ.
Θέλειϲ τράπεζαν εὔπνουν
μύρων τε καὶ μαγείρων
ϲοφίϲμαϲιν περιϲϲοῖϲ;
καὶ βαρβίτων χερῶν τε
κροτήματ᾽ οὐκ ἄνοιϲτρα,
ἁβρῶν κλάϲειϲ τε παίδων
κινουμένων ἀνάνδρωϲ,
καὶ παρθένων ἑλιγμοὺϲ
γυμνουμένων ἀθέϲμωϲ;
ἃ τοῖϲ πότοιϲ τυποῦϲιν
ὅϲοι φιλοῦϲιν ὕβριν,
τὸν μαινόλην ἑτοίμωϲ
ὑποφλέγοντεϲ οἶνον.
Ταῦτ᾽ εἰ θέλειϲ παρ᾽ ἡμῶν,
ἔχοιϲ μέν, ἀγχόνην δέ.
τοιαῦτα τοῖϲ ἀπλήϲτοιϲ
ἐγὼ φίλοιϲ πορίζω·
οἶκόϲ ϲε πέτρινόϲ τιϲ
αὐτώροφοϲ καλύπτοι,
ἢ μικρὸν ἔργον ὥραϲ,
εἰ δεῖ τι καὶ πονῆϲαι·
τὸ δ᾽ ἔϲθοϲ ἢ καμήλων
τρίχεϲ νόμῳ δικαίων,
ἢ καὶ δέροϲ, παλαιᾶϲ
γυμνώϲεωϲ κάλυμμα.
ϲτιβὰϲ μὲν ἡ τυχοῦϲα,
πόαι, κλάδοι τετάϲθων
ἄπλωμα πορφυροῦν τι
καὶ ϲυμπόταιϲ ἀταρβέϲ·
τράπεζα δ᾽ αὐτόθεν ϲοι
γλυκὺ πνέουϲ᾽ ἀνείϲθω,
ἃ γῆ φίλη δίδωϲιν
ἄτεχνα δῶρα πᾶϲιν.
Ἐπεὶ δ᾽ ἐθήκαμέν ϲε,
καὶ θρέψομεν προθύμωϲ.
θέλειϲ φαγεῖν, ἔχ᾽ ἄρτον,
ἔχ᾽ ἄλφιτ᾽, εἰ παρείη·
ἅλεϲ δέ ϲοι τὸ πέμμα,
θύμόν θ᾽ ὃν οὐ μετροῦμεν
ἀπραγμάτευτον ὄψον·
ἔνδεια δ᾽ ἄλλο μεῖζον.
θέλειϲ πιεῖν; βρύει ϲοι
ὕδωρ, κρατὴρ ἀείρρουϲ,
ποτὸν μέθηϲ ἄποιον,
ἀκλήματον γάνυϲμα.
Ζητεῖϲ δὲ καὶ τρυφᾶν τι,
μηδ᾽ ὀξίνηϲ φθονείϲθω.
Ἀλλ᾽ οὐ τάδ᾽ ἀρκέϲει ϲοι,
τετρημένῳ ποθεῖϲ δὲ
πίθῳ κακῶϲ ἐπαντλεῖν
τὰϲ ἡδονὰϲ ἀπλήϲτωϲ.

---

65 θεὸϲ γενέϲθαι θεόϲ om. G — 69 ταρϲούϲ ed. Bill. — 71 κυκλουμένηϲ G — 81 πνοήν ed. Bill. — 85 fort. μύροιϲ — 86 περιττοῖϲ G — 87 χειρῶν G — 89 παίδων κλάϲειϲ ἁβρῶν τε G — 92 ἀγύμνωϲ G — 95 τήν G — 102 αὐτόφοροϲ καλύπτῃ G — 110 κλάδοι τε θάμνων ed. Bill. — 122 θῦμοϲ θ᾽ Boissonade: καὶ θύμον G

ἄλλον πόθει πορισtήν·
ἐμοὶ γὰρ οὐ cχολή cε
θάλπειν cύνοικον ἐχθρόν,
ἵν' ὡc ὄφιc κρυμωθεὶc,
θέρμῃ δ' ἔπειτα λυθεὶc
ἐγκόλπιόc με τρώcῃc.
Θέλειc δόμουc ἀμέτρουc,
χρυcωρόφουc γραφῆc τε
καὶ ψηφίδοc cοφιcμοὺc
κινουμένων cχεδόν τι,
πλακόc τε λάμψιν ἁβρᾶc
ἀντίχροον, πολύχρουν;
θέλειc περιρρέουcαν
ἐcθῆτα τῶν ἀθίκτων,
ἐν δακτύλοιc τε πλοῦτον,
γελώμενόν τε κάλλοc
τοῖc cωφρονεῖν μαθοῦcιν,
ἐμοὶ δὲ καὶ μάλιcτα,
ᾧ κάλλοc ἐcτὶν εἴcω;
Τοῖc μὲν κάτω δὴ ταῦτα,
ὑμῖν βροτοῖcι φάcκω,
οἳ ζῆτε τὸ πρὸc ὥραν,
μηδὲν πλέον βλέποντεc.
τοῖc δ' εὐγενῶc βιοῦcιν,
ἐπαξίωc τε μοίραc
τῆc ἐκ θεοῦ δοθείcηc
τῷ πηλίνῳ πάχει μου,
cκόπει πένητοc ὄγκον,
οἵαν τροφὴν χορηγῶ.
Δίελθέ μοι φλογώδη
ῥομφαίαν, ὦ θεόφρον·
θείων γενοῦ γεωργὸc
φυτῶν, λόγων θαλλόντων,
ὧν μ' ἐcτέρηcεν ἐχθρὸc,
δι' ἡδονῆc cυλήcαc.
ξύλῳ πάλιν πρόcελθε
ζωῆc ἀεὶ μενούcηc·
ἡ δ' ἐcτίν, ὡc ἀνεῦρον,
γνῶcιc θεοῦ μεγίcτου,
φάουc ἑνὸc τριλαμποῦc,
πρὸc ὃν τὰ πάντα τείνει.
Οὕτω μὲν αὐτὸc αὐτῷ
πᾶc τιc cοφῶν λαλήcει,
ὃc δ' οὐ θέλει λαλῆcαι,
μάτην βίον παρῆλθεν·
εἴπερ μάτην παρῆλθε,
μὴ cὺν κακῷ μεγίcτῳ.

V

ΕΥΧΗ ΕΩΘΙΝΗ.

Ὄρθριοc δίδωμι τῷ θεῷ μου δεξιὰc,
μηδὲν cκοτῶδεc ἢ δράcειν ἢ αἰνέcειν,
ἀλλ' ὡc μάλιcτά cοι θύcειν τὴν ἡμέραν,
μένων ἄcειcτοc καὶ παθῶν αὐτοκράτωρ·
αἰcχύνομαι τὸ γῆραc, ἂν κάκιcτοc ὦ,
καὶ τὴν τράπεζαν, ἧc παραcτάτηc ἐγώ.
Ὁρμὴ μὲν αὕτη, Χριcτέ μου, cὺ δ' εὐόδου.

VI

Ἐψευcάμην cε τὴν ἀλήθειαν, λόγε,
cοὶ τὴν παροῦcαν ἡμέραν καθαγνίcαc.
Οὐ πάντα φωτεινόν με νὺξ ἐδέξατο·

---

139 fort.: λυθεὶc δ' ἔπειτα — 145 πλακόc τε λάμψιν ἁβρᾶc ed. Bill.: λάμψιν πλακόc τ' ἀνθηρόν G — 153 κάλλοc ἓν τὸ εἴcω Boiss. — 155 βροτοῖcι φάcκω ed. Bill.: φάcκω βροτοῖcι G λέγω βροτοῖcι Boiss. — 160 δοθείcηc Boiss.: κρατείcηc G, unde κρανθείcηc coni. Halm — 167 θαλούντων Boissonade — 177 cοφόc vulgo — V 1 ὄρθροc G; nos ὄρθριοc scribere ausi sumus, possis tamen etiam ὄρθρου tentare — 3 θύcαι G — 4 ἄcτατοc ed. Bill.

ἦ μὴν προϲηυξάμην τε καὶ τοῦτ' ᾠόμην,
ἀλλ' ἔϲτιν οὗ μοι καὶ προϲέπταιϲαν πόδεϲ·
Ζόφοϲ γὰρ ἦλθε βάϲκανοϲ ϲωτηρίαϲ.
Λάμποιϲ τὸ φῶϲ μοι, Χριϲτὲ, καὶ πάλιν φανείϲ.

VII

ΥΜΝΟϹ ΕϹΠΕΡΙΝΟϹ.

Ϲὲ καὶ νῦν εὐλογοῦμεν,
Χριϲτέ μου, λόγε θεοῦ,
φῶϲ ἐκ φωτὸϲ ἀνάρχου,
καὶ πνεύματοϲ ταμία,
τριττοῦ φωτὸϲ εἰϲ μίαν
δόξαν ἀθροιζομένου·
ὃϲ ἔλυϲαϲ τὸ ϲκότοϲ,
ὃϲ ὑπέϲτηϲαϲ τὸ φῶϲ,
ἵν' ἐν φωτὶ τὰ πάντα
καὶ τὴν ἄϲτατον ὕλην
ϲτήϲῃϲ, μορφῶν εἰϲ κόϲμον
καὶ τὴν νῦν εὐκοϲμίαν·
ὃϲ νοῦν ἐφώτιϲαϲ ἀνθρώπου
λόγῳ τε καὶ ϲοφίᾳ
λαμπρότητοϲ τῆϲ ἄνω
καὶ κάτω θεὶϲ εἰκόνα,
ἵνα φωτὶ βλέπῃ φῶϲ
καὶ γένηται φῶϲ ὅλον.
ϲὺ οὐρανὸν φωϲτῆρϲιν
κατηύγαϲαϲ ποικίλοιϲ·
ϲὺ νύκτα καὶ ἡμέραν
ἀλλήλαιϲ εἴκειν πράωϲ
ἔταξαϲ, νόμον τιμῶν
ἀδελφικῆϲ φιλίαϲ·
τῇ μὲν ἔπαυϲαϲ κόπουϲ
τῆϲ πολυμόχθου ϲαρκόϲ,
τῇ δ' ἤγειραϲ εἰϲ ἔργον
καὶ πράξειϲ τάϲ ϲοι φίλαϲ.

VIII

ΠΡΟϹ ΠΑΡΘΕΝΟΝ ΠΑΡΑΙΝΕΤΙΚΟϹ.

Παρθένε, νύμφη Χριϲτοῦ,
δόξαζέ ϲου τὸν νυμφίον·
ἀεὶ κάθαιρε ϲαυτὴν
ἐν λόγῳ καὶ ϲοφίᾳ,
ἵνα λαμπρὰ τῷ λαμπρῷ
ϲυζήϲῃϲ τὸν αἰῶνα·
κρείϲϲων γὰρ αὕτη πολλῷ
τῆϲ φθαρτῆϲ ϲυζυγίαϲ.
Ἐν ϲώματι τὰϲ νοερὰϲ
δυνάμειϲ ἐμιμήϲω,
ἀγγελικὴν μετῆλθεϲ
ἐπὶ γῆϲ πολιτείαν.
Δεϲμὸϲ ἐνταῦθα καὶ λύϲιϲ
καὶ ϲώματ' ἐκ ϲωμάτων·
ἄνω δ' ἑκάϲτη μονὰϲ
οὔποτε λυομένη,
οἱ πρῶτοι φέρουϲ' ἀκτῖνα
τῆϲ καθαρᾶϲ οὐϲίαϲ,
πνεῦμα καὶ πῦρ, λειτουργοὶ
τῶν θεοῦ προϲταγμάτων.
ὕλη δὲ μῖξιν ἐξεῦρεν
ἀεὶ ῥέουϲα φύϲιϲ,
ᾗ μέτρον ὥριϲε θεὸϲ,
γάμον νομοθετήϲαϲ·

VII. ὕμνοϲ ἑϲπερινόϲ ἰμιάμβοι G — 4 πνεύματοϲ ταμία G: πνεῦμα ἐξ ἀνάρχου Dan. — 5 τρίτου Dan. — 9 ἐν φωτὶ κτίϲῃϲ vulgo, nos κτίϲῃϲ eiecimus, quamquam v. 13 quoque duae syllabae abundant — 17 βλέπει τὸ φῶϲ G — 19 οὐρανὸν φωϲτῆρϲιν nos: φωϲτῆρϲιν οὐρανόν G — 22 ἥκειν G — πράωϲ nos: ἠπίωϲ G — 24 ἀδελφικῆϲ nos: ἀδελφότητοϲ καί G — 25 ϲῇ nos: καὶ τῇ G — VIII. Ἐν τούτῳ τῷ λόγῳ τὸν Ϲυρακούϲιον μιμεῖται· οὗτοϲ γὰρ μόνοϲ ποιητῶν ῥυθμοῖϲ τε καὶ κώλοιϲ ἐχρήϲατο ποιητικῆϲ ἀναλογίαϲ καταφρονήϲαϲ, schol. ed. Bill. — 4 πολύ Bill. — 5 caesuram non significatam invenimus et huius versus et vv. 9. 10. 15. 17. 24. 26. 29. 31. 35. 41. 44. 53. 57. 58. 65. 66. 70. 72. 75. 76. 78. 85. 86. 87. 90. 93—97. 100 — 6 μετῆλθεϲ ἐπὶ γῆϲ VH: ἐπὶ γῆϲ μετ. Bill. — 9 φέρουϲι VH — καθαρᾶϲ τριάδοϲ VH — 10 πνεύματα V Bill.

cὺ δ' ἔργον ὕλης φυγοῦcα
τοῖς ἄνω cυνηρμόcθης,
ὡς νοῦς ἁρμόζεται νοῒ
τὴν θείαν ἁρμονίαν·
καὶ cαρκὶ πολεμοῦcα
βοηθεῖς τῇ εἰκόνι·
πνοὴ γὰρ ἔφυς θεοῦ
τῷ χείρονι cυνδεθεῖcα,
ἵν' ἐκ πάλης καὶ νίκης
τὸ cτέφος ἀπολάβῃς,
ἄνω θεῖcα καὶ τὸν χοῦν
καλῶς ὑποταγέντα.
Αἰνείcθω cοι καὶ γάμος,
πρὸ γάμου δ' ἀφθορία·
γάμος cυγγνώμη πάθους,
ἁγνεία δὲ λαμπρότης·
γάμος πατὴρ ἁγίων,
ἁγνεία δὲ θυcία.
Ταύτην καὶ τότε καιροῖς
ἐτίμων τοῖς εὐθέτοις,
'Αδὰμ ἐν παραδείcῳ,
Μωcῆς ἐν ὄρει Cίνα,
λειτουργῶν Ζαχαρίας
ὁ πατὴρ τοῦ προδρόμου.
Γάμος καὶ παρθενίας
ῥίζα τῆς θεοῦ νύμφης,
ἀλλ' ἔcτιν ὅμως cαρκὸς
καὶ βράcματος δουλεία.
Ὅτ' ἦν νόμος καὶ cκιαὶ
καὶ πρόcκαιροι λατρεῖαι,
τότ' εἶχε πρῶτα καὶ γάμος,
ὡς ἔτι νηπιώδης.
Ὅτε δ' ὑπεξῆλθε τὸ γράμμα,
τὸ πνεῦμ' ἀντειcήχθη,
καὶ Χριcτὸς ἔπαθε cαρκὶ
προελθὼν ἐκ παρθένου,
τότ' ἐξέλαμψεν ἁγνεία
cυντέμνουcα τὸν κόcμον,
ὃν ἐκεῖ δεῖ μεταβῆναι
Χριcτῷ cυνανελθόντα.
Καλῶς ὁδεύεις, παρθένε,
εἰς ὄρος ἀποcώζου·
μὴ πρὸς Cόδομα βλέψῃς,
μὴ cτήλη παγῇς ἁλός·
μήτε λίαν cε cαρκὸς
ἐκφοβείτω ἡ φύcις,
μήτε θαρρήcῃς ἄγαν,
ὥcτε ποτ' ἐκλυθῆναι.
Cπινθὴρ ἀνάπτει καλάμην,
cβεννύει δ' ὕδωρ φλόγα.
Ἔχεις φάρμακα πολλὰ
τῆς cεμνῆς παρθενείας·
θεοῦ cε φόβος πηγνύτω,
νηcτεία cε κενούτω,
ἀγρυπνία, προcευχαί,
δάκρυα, χαμευνία,
ἔρως ὅλος πρὸς θεὸν
γνηcίως τεταμένος,
πάντα κοιμίζων πόθον
ἀλλότριον τῶν ἄνω.
Ὁ πίπτων ἐγειρέcθω,
ὁ ναυαγῶν ἐλεείcθω·
cὺ δ' εὔπλοει τὸ ἱcτίον
πετάcαcα τῆς ἐλπίδος·
οὐ τῶν κάτω τὸ πίπτειν,
τῶν δ' ἄνω φερομένων.
'Ολίγοι πτερορρυοῦcιν,
οἱ πλεῖcτοι δ' εὐδρομοῦcιν·

---

15 τῇ om. H — 16 cυντεθεῖcα V — 17 ὥcτε ἐκ H — ἀπολάβῃς nos: ἀπολαύης V Bill. ἀπολαβεῖν H — 18 καὶ om. VH — ὑποταγέντα τῷ πνεύματι VH — 19 καὶ πρὸ γάμου ἀφθ. VH — 20 δέ VH: καί Bill. — 21 ἁγνείας δὲ λατρεία Bill. — 23 Μωcῆς ἐν ὄρει Cινᾶ Bill.: Μωcῆς νόμῳ προcάγων VH – Cινᾶ Bill. Cίνα quod reposui, numeris commendatur — 24 λειτουργῶν om. H — ὁ Ζαχ. Bill. — 25 παρθενία V — ῥίζα τῷ θεῷ φίλης Bill. — 26 ἔcτι νόμος Bill. — 28 πρῶτα ὁ γάμος H — 29 τὸ πνεῦμ' ἀντειcήχθη Bill. ἀντειcήχθη δὲ τὸ πνεῦμα VH — 31 ἔλαμψεν Bill. — 32 ὃν om. H — cυνανελθόντι Bill. – 33 ἀποcώζου VH: ἄνω cώζου Bill. — 34 βλέψῃς VH: ἀποβλέψῃς Bill. — ἁλὸς παγῇς H — 35 et 36 μηδέ Bill — 35 ἡ φύcις ἐμφοβείτω Bill. — ἡ om. VH — 36 ἐκπλαθῆναι Bill. — 37 cβέννυcι Bill. — 39 πόθος H — 40 καὶ προcευχή V — 43 πίπτων VH: πεcών Bill. — 44 τό nescio an eiciendum sit; quamquam versus bis octonum syllabarum infra quoque leguntur vv. 54. 73 — τῆς εἰς Χριcτὸν ἐλπίδος V — 46 πλεῖcτοι VH: πλείους Bill.

ἔπεcεν Ἑωcφόροc,
ἀλλ᾽ οὐρανὸc ἀγγέλων.
Ἰούδαc ἦν προδότηc,
οἱ δ᾽ ἕνδεκα λαμπτῆρεc.
Μόνον ὅλωc cεαυτὴν
ἁγνὴν τήρει, παρθένε,
μή πωc cπιλώcῃc Χριcτοῦ
τὸν ἄcπιλον χιτῶνα.
Ὄμμα coι cωφρονείτω,
γλῶccα παρθενευέτω·
μὴ νοῦc πορνεύῃ, μὴ γέλωc,
μὴ ποὺc ἄτακτα βαίνων.
Τὴν πιναρὰν cτολήν cου,
καὶ τὴν αὐχμηρὰν κόμην
μᾶλλον αἰδοῦμαι μαργάρων
καὶ τῆc Cηρῶν εὐκοcμίαc.
Καλὸν ἄνθοc ἡ αἰδὼc
καὶ μέγαc κόcμοc ὠχρότηc·
καὶ πλέγμα καλὸν ἀρεταὶ
πᾶcαί cε cτεφανοῦcαι.
Ἄλλη χρώμαcιν εἰκόνα
τὴν θεοῦ νοθευέτω,
πίναξ ἔμψυχοc αἰcχρῶν
κατήγοροc τῶν ἔνδον·
cὺ δ᾽ ἧc ἔχειc εὐμορφίαc
νεκρούcθω coι τὸ πλεῖcτον·
κάλλοc δὲ λάμπρυνε ψυχῆc
ἐκ θεοῦ κοcμουμένηc.
Ὄψιν δ᾽ ἀρρένων φεῦγε,
εἰ θέμιc, καὶ cωφρόνων,
μή που πλήξῃc, ἢ πληγῇc
ἐκ μώμου τοῦ Βελίου·
ὄμματ᾽ ὄμμαcι μὴ δίδου,
μὴ πλέκε λόγῳ λόγον·
μὴ παρειὰ παρειαῖc
διδότω παρρηcίαν·
μηδέν coι καὶ τῇ γεύcει
ξύλου τοῦ κατακρίτου,
μή cε ξύλου τῆc ζωῆc
ὁ ὄφιc ἔξω βάλῃ.
Καὶ τοῦτο πείθου, παρθένε,
μὴ cυνοίκει προcτάτῃ,
Χριcτὸν ἔχουcα νυμφίον·
ζηλοῖ cου τὴν ἁγνείαν.
Τί μοι cάρκα φυγοῦcα
πρὸc cάρκαc ἐπιcτρέφειc;
Οὐ πάντεc ἄνδρεc τὴν cὴν
ἁπλότητα χωροῦcιν·
ὡc ῥόδον ἐν ἀκάνθαιc,
οὕτωc ἐν πολλοῖc cτρέφῃ·
καὶ πονηρῶν ἐπάνω
παγίδων διαβαίνειc.
Ὁ μὲν ἐγείρει παcτάδαc,
ἡ δ᾽ ἐκκομίζει νυμφίον,
ἄλλοc γίνεται πατὴρ,
ἄλλοc ἄπαιc ἀθρόωc·
ὅcον κακὸν ὠδῖνεc
ἀτέλεcτοι πολλάκιc;
ὅcον ζῆλοc cυζύγου,
κλαπῆναι ποῦ φιλίαν;
ἐκθρέψαι δὲ καὶ παιδεῦcαι
ἔπειτ᾽ ἀτιμαcθῆναι,
καὶ πικρὰc ἀντιλαβεῖν
τῶν πόνων ἀντιδόcειc;
cοὶ δὲ μέριμνα μία
πρὸc θεὸν ἀεὶ βλέπειν.
Ἡ χρεία δ᾽ ἔcτω ὀλίγη μάζα
καὶ μικρὰ cκέπη,
ἀφ᾽ ἧc πεῖραν καὶ Χριcτῷ
προcήγαγεν ὁ πειράζων,
λίθουc αἰτῶν εἰc ἄρτουc
πεινῶντα μετατρέψαι·

---

49 ὅλην Bill. — 50 μή που ῥυπώcῃc Bill. — 51 cου Bill. — 52 πορνεύῃ Bill.: πόρνοc VH — γέλωc ἀκόλαcτοc H — 53 cτολήν cου Bill.: cου cτολήν VH — 54 μαργαριτῶν V — 56 πάcαιc ἀρεταῖc cτεφανοῦcθαι Bill. — 57 ἄλλη Bill.: ἄλλοc μέν VH — 58 αἰcχρῶν nos: αἰcχρόc V cιγῶν Bill., om. H — 60 κάλλει δὲ λάμπε Bill. — κοcμουμένη Bill. — 62 Βελία Bill. — 63 ὄμμα δ᾽ ὀμ. VH — δούλου Bill. — μήδ᾽ ἕλκε λόγον λόγῳ Bill. — 66 τοῦ ξύλου VH — 67 cὺ παρθένε Bill. — cυνοικῆcαι VH — προcτάτην H — 69 cάρκαc φυγ. Bill. — 70 ἄνδρεc om. VH — λαμπρότητα H — 72 ἐπάνω πονηρῶν Bill. — 73 μὲν γάρ H — 73 ὁ δὲ κομίζει Bill. — 74 δ᾽ ἄπαιc Bill. — 76 ὅcον nos: ὅcοc VH ὅcον δὲ Bill. — cύζυγον . . . φιλία V — 78 ἀντιλαβεῖν V: ἐπιλαβεῖν H ἀπολαύειν Bill. — 82 πεινῶντι μεταcτρέψαι VH

ὧν μή ποθ' ἕνεκα
μηδὲν τῶν αἰσχρῶν ὑπομείνῃς.
Οὐ χείρων εἶ πετεινῶν
σχεδίως τρεφομένων·
οὐκ ἐκλείψει σοι καμψάκης
ἐλαίου πιστευούσῃ·
κόραξ σε θρέψει,
καθάπερ Ἠλίαν ἐν ἐρήμῳ.
Οἶδας Θέκλαν ἐκ πυρὸς
καὶ θηρίων φυγοῦσαν·
Παῦλον πεινῶντα τὸν μέγαν
καὶ ῥιγοῦντα προθύμως,
ἵνα σὺ μάθῃς, παρθένε,
πρὸς θεὸν μόνον βλέπειν,
ὃς ἐν ἐρήμῳ τρέφειν
οἶδε καὶ μυριάδας.
Μαραίνεται τὸ κάλλος,
ἡ δόξα παρατρέχει·
ὁ πλοῦτος ἄπιστον ῥεῦμα,
τὸ δύνασθαι δ' ὀλίγον·
σὺ δὲ τοῦ πλάνου κόσμου
τὰς τρυφὰς ἐκφυγοῦσα
εἰσῆλθες εἰς τὰ ἅγια
τῶν ἁγίων γελῶσα,
καὶ σὺν ἀγγέλοις χορεύσεις
τὴν ἄπαυστον χορείαν,
κρείσσονα τόπον λαχοῦσα
υἱῶν καὶ θυγατέρων·
ἀλλ', ὦ παρθένοι, Χριστὸν
μένοιτε γρηγοροῦσαι,
καὶ φαιδραῖς τὸν νυμφίον
δέχοισθε ταῖς λαμπάσιν,
ἵνα συνεισελθοῦσαι
τὸ κάλλος τοῦ νυμφῶνος
ἴδητε καὶ μιγῆτε
τοῖς ἄνω μυστηρίοις.

ΝΑΑΣΣΗΝΩΝ ΨΑΛΜΟΣ.

Νόμος ἦν γενικὸς τοῦ παντὸς ὁ πρώτιστος νόος·
τὸ δὲ δεύτερον ἦν τοῦ πρωτοτόκου τὸ χυθὲν χάος.
τριτάτη δ' ἔλαχεν ἐργαζόμενον ψυχὴ νόμον·
διὰ τοῦτ' ἐλαφρὸν μορφὰν περικειμένη
κοπιᾷ θανάτῳ μελέτημα κρατουμένη·
ποτὲ μὲν βασιλείαν ἔχουσα βλέπει τὸ φῶς,
ποτὲ δ' εἰς ἔλεον ἐρριμμένη κλάει·
ποτὲ δὲ [κλαίει] χαίρει, ποτὲ δὲ [κλαίει] κρίνεται·
ποτὲ δὲ [κρίνεται ποτὲ δὲ] θνήσκει, ποτὲ δὲ γίνεται.
ἀνέξοδον ἡ μελέα κακῶν
λαβύρινθον ἐσῆλθε πλανωμένη·
εἶπεν δ' Ἰησοῦς· ἐσόρα, πάτερ,
ἄθλημα κακῶν τόδ' ἐπὶ χθόνα
ἀπὸ σῆς πνοιῆς ἀποπλάζεται·
ζητεῖ δὲ φυγεῖν τὸ πικρὸν χάος,

---

83 τι τῶν VH — ὑπομένῃς Bill. — 84 om. V — 86 κόραξ ἐκθρέψει Bill. — 87 ὁρᾷς Bill. — 88 τὸν μέγαν πεινῶντα Bill. — προπροθύμια H — 89 θεόν om. H — 90 ὅς VH: θεός Bill. — ὀλίγων codd. — 93 πλάνου Bill : ταπεινοῦ VH — 94 εἴσελθε V — 95 χορεύοις V — τήν om. H — 96 κρεῖσσον γάρ H — 97 μένητε H Bill. — 98 δέξασθε Bill. — 99 νυμφίου Bill.

Origines Philosophumenorum l. V c. 1 de Naassenis haec refert: ψαλμὸς αὐτοῖς ἐσχεδίασται οὗτος, δι' οὗ πάντα αὐτοῖς τὰ τῆς πλάνης μυστήρια δοκοῦσιν ὑμνῳδεῖν οὕτως. Νόμος κ. τ. λ. — 1 πρώτιστος Miller: πρῶτος codex — 3 ψυχὴ δ' ἔλαβεν ἐργαζομένην cod., quae verba transposui et praeeunte Patricio emendavi — 4 ἐλαφρόν nos: ἔλαφον cod. ἐλάφου Miller ὑδαρόν Patricius — 6 μέν add. Miller — 7 εἰς ἐλεείν' ἐκριπτομένη Patricius — 10 ἀνέξοδον nos: ἀνέξοδος cod. καὶ ἀνέξοδος Patricius — 11 εἰσῆλθε cod. — 12 ἐσόρα Miller: ἐσόρ cod. — 13 ἄθλημα Patricius: ζήτημα cod. — τόδ' om. cod. add. Miller ἔτ' add. Patricius

κοὐκ οἶδεν ὅπως διελεύσεται·
τούτου με χάριν πέμψον, πάτερ·
σφραγῖδας ἔχων καταβήσομαι,
αἰῶνας ὅλους διοδεύσω,
μυστήρια πάντα δ' ἀνοίξω,
μορφὰς δὲ θεῶν ἐπιδείξω·
τὰ κρυπτά τε τῆς ἁγίας ὁδοῦ,
γνῶσιν καλέσας, παραδώσω.

ΜΕΘΟΔΙΟΥ ΠΑΡΘΕΝΙΟΝ.

Ἄνωθεν, παρθένοι, βοῆς ἐγερσίνεκρος ἦχος
ἦλθεν νυμφίῳ πασσυδὶ ὑπαντάνειν λευκαῖσί τε
καὶ λαμπάσιν πρὸς ἀντολάς· ἔγρεσθε, πρὶν φθάσῃ μολεῖν
εἴσω θυρῶν ἄναξ.

ἁγνεύω σοι καὶ λαμπάδας φαεσφόρους κρατοῦσα,
νυμφίε, ὑπαντάνω σοι.

Βροτῶν πολυστένακτον ὄλβον ἐκφυγοῦσα καὶ
βίου τρυφῆς ἔρωτα μωρὸν, σαῖς ὑπ' ἀγκάλαις
ζωηφόροις ποθῶ σκέπεσθαι καὶ βλέπειν τὸ σὸν
κάλλος διηνεκῶς, μάκαρ.

ἁγνεύω σοι καὶ λαμπάδας φαεσφόρους κρατοῦσα,
νυμφίε, ὑπαντάνω σοι.

Γάμων λιποῦσα θνητὰ λέκτρα καὶ δόμον, ἄναξ,
διὰ σὲ πολύχρυσον ἦλθον ἀσπίλοις ἐν εἵμασι,
ὅπως φθάσω κἀγὼ θαλάμων τῶν πανολβίων
εἴσω σὺν σοὶ μολεῖν·

ἁγνεύω σοι καὶ λαμπάδας φαεσφόρους κρατοῦσα,
νυμφίε, ὑπαντάνω σοι.

Δόλους δράκοντος ἐκφυγοῦσα μυρίους, μάκαρ,
θελκτηρίους· ἔτλην δὲ καὶ δεινὴν πυρὸς φλόγα

---

16 καὶ οὐκ οἶδε πῶς cod., corr. Miller — 20 δ' ἀνοίξω Miller: διανοίξω cod. — 22 τὰ κρυπτά τε Miller: καὶ τὰ κεκρυμμένα cod.

Methodius Symposii l. XI c. 1 p. 49 ed. Alb. Jahn praemittit haec: Ταῦτα οὖν εἰποῦσαν ἔφη κελεῦσαι πάσας ἀναστῆναι τὴν Ἀρετὴν ἡ Θεοπάτρα καὶ πάσας ὑπὸ τὴν ἄγνον εὐχαριστήριον ὕμνον πρεπόντως ἀναπέμψαι τῷ κυρίῳ, ἐξάρχειν δὲ τὴν Θέκλαν καὶ προϋφηγεῖσθαι. ὡς οὖν ἀνέστησαν, τὴν Θέκλαν μέσην μὲν τῶν παρθένων, ἔφη, ἐκ δεξιῶν δὲ τῆς Ἀρετῆς στᾶσαν κοσμίως ψάλλειν, τὰς δὲ λοιπὰς ἐν κύκλῳ καθάπερ ἐν χοροῦ σχήματι συστάσας ὑπακούειν αὐτῇ. Ψαλμός. ἄνωθεν παρθένοι κ. τ. λ. — 2 τε nos addidimus — vv. quinto et sexto vulgo praefigitur titulus Ὑπακοή — 8 μωρὸν addidimus, ut medius versus primo et tertio par fieret — 15 θαλάμων τῶν πανολβίων nos: πανολβίων θαλάμων vulgo; forsan etiam in clausula post μολεῖν vocabulum ἄναξ exciderit — 20 δεινὴν addidimus

καὶ θηρίων ἀνημέρων ὁρμὰς βροτοφθόρους,
cὲ προcμένουc᾽ ἀπ᾽ οὐρανῶν.

ἁγνεύω coι καὶ λαμπάδας φαεcφόρους κρατοῦcα,
νυμφίε, ὑπαντάνω coι.

Ἐλαθόμην πάτρας, ποθοῦcα cὴν χάριν, λόγε,
ἐλαθόμην καὶ παρθένων ὁμηλίκων χοροὺc,
μητρός τε καὶ γένους φρύαγμα· πάντα γὰρ cύ μοι
αὐτὸc cὺ, Χριcτὲ, τυγχάνειc.

ἁγνεύω coι καὶ λαμπάδας φαεcφόρους κρατοῦcα,
νυμφίε, ὑπαντάνω coι

Ζωῆc χοραγὸc, Χριcτὲ, χαῖρε, φῶc ἀνέcπερον,
ταύτην δέδεξο τὴν βοήν· χορός cε παρθένων
προcεννέπει, τέλειον ἄνθοc, ἀγάπη, χαρὰ,
φρόνηcιc, cοφία, λόγε.

ἁγνεύω coι καὶ λαμπάδας φαεcφόρους κρατοῦcα,
νυμφίε, ὑπαντάνω coι.

Ἠνοιγμέναιc θύραιc, ἄναcca, φαιδρόκοcμ᾽ ἡμᾶc δέδεξο,
ἀχραντόcωμε, καλλίνικε, νύμφα καλλίπνου·
ὁμόcτολοι παρήμεθα Χριcτῷ, πανόλβιε,
μέλπουcαι cὸν γάμον, θάλοc.

ἁγνεύω coι καὶ λαμπάδας φαεcφόρους κρατοῦcα,
νυμφίε, ὑπαντάνω coι.

Θρηνοῦcι νῦν βαρύcτονοι κόραι πυλῶν πικρῶc
νυμφῶνοc ἔξω καὶ βοῶcι γοερῶc, ὅτι
τὸ λαμπάδων ἀποcβέcαcαι φῶc οὐκ ἔφθαcαν
χαρᾶc ταμεῖον εἰcιδεῖν.

ἁγνεύω coι καὶ λαμπάδας φαεcφόρους κρατοῦcα,
νυμφίε, ὑπαντάνω coι.

Ἱερᾶc ὁδοῦ γὰρ ἐκτραπεῖcαι πρὸc βίου πόρουc
κτήcαcθ᾽ ἔλαιον ἠμέληcαν ἄθλιαι πλέον·
νεκρὰc δὲ φλογεροῦ πυρὸc φέρουcαι λαμπάδαc
cτένουcιν ἔνδον ἐκ φρενῶν.

ἁγνεύω coι καὶ λαμπάδας φαεcφόρους κρατοῦcα,
νυμφίε, ὑπαντάνω coι.

---

26 Psalm. XLIV 10 — 37 ἡμᾶc δέδεξο nos: δέδεξ᾽ ἡμᾶc vulgo — 39 πανόλβιε nos: πανόλβιαι vulgo — 40 fort.: cῶν γάμων θάλοc aut cὸν γόνον, θάλοc — 43 Matth. XXV 11
51 φλογεροῦ πυρὸc φέρουcαι nos: πυρὸc φέρουcαι φλογεροῦ vulgo

Κρατῆρες ἀδυπληθέες πρόκεινται νέκταρος·
πίνωμεν· οὐράνιον γάρ ἐστι πόμα, παρθένοι,
ὁ νυμφίος ὅπερ τέθεικε τοῖς μετ' ἀξίας
εἰς τὸν γάμον κεκλημένοις.

ἁγνεύω σοι καὶ λαμπάδας φαεσφόρους κρατοῦσα,
νυμφίε, ὑπαντάνω σοι.

Λαμπρῶς τὸν θάνατόν σου Ἄβελ προτυπῶν, μάκαρ,
ἔλεξεν αἱματοσταγὴς βλέπων εἰς οὐρανούς·
ἀνηλεῶς με συγγόνου τετρωμένον χερὶ
δέξαι, λιτάζομαι, λόγε.

ἁγνεύω σοι καὶ λαμπάδας φαεσφόρους κρατοῦσα,
νυμφίε, ὑπαντάνω σοι.

Μέγιστον ἆθλον ἁγνείας σου παῖς Ἰωσὴφ ἀνείλετο·
γυνὴ γὰρ αὐτὸν εἰς ἄθεσμα λέκτρα εἵλκυσεν
φλεγομένη πόθοις, ὁ δ' οὐδὲν ἐντραπεὶς
ἔφευγε γυμνὸς ἐκβοῶν·

ἁγνεύω σοι καὶ λαμπάδας φαεσφόρους κρατοῦσας,
νυμφίε, ὑπαντάνω σοι.

Νεοσφαγῆ ὁ Ἰεφθάε κόραν ἦγεν [θυσίαν] θεῷ
ἄπειρον ἀνδρὸς ἀμφὶ βωμὸν ἀμνάδος δίκην·
ἡ δ' εὐγενῶς σου τὸν τύπον τῆς σαρκός, ὦ μάκαρ,
τελοῦσ' ἔκραζε καρτερῶς·

ἁγνεύω σοι καὶ λαμπάδας φαεσφόρους κρατοῦσα,
νυμφίε, ὑπαντάνω σοι.

Ξένων στρατηλάταν ὄχλων εὔτολμος εὐστόχοις
Ἰουδὴθ δόλοις καρατόμησε· κάλλεος τύποις
θέλξασα τοῦτον, οὐ χράναντα σώματος μέλη,
νικαφόροις ἔφη βοαῖς·

ἁγνεύω σοι καὶ λαμπάδας φαεσφόρους κρατοῦσα,
νυμφίε, ὑπαντάνω σοι.

Ὁρῶντες εἶδος εὐπρεπὲς ὑφῆς δύο κριταὶ
Σουσάννας ἐμμανεῖς ἔρωτι λέξαν· ὦ γύναι,

---

61 Genes. IV 10 — τὸν θάνατόν σου nos: σου τὸν θάνατον vulgo — προτυπῶν nos: προεκτυπῶν vulgo — μάκαρ in initio sequentis versus vulgo collocatum in finem proximi retraximus — 67 Genes. XXXIX 12 — 69 fort.: αἰσχροῖς φλεγομένη πόθοις — 73 Iud. XI 38 — θυσίαν uncinis inclusimus — 79 Iudith VIII 1 — 80 καρατόμησε nos: καρατομήσασα vulgo — 82 fort. νικαφόροις δ' ἔφη deleto post καρατόμησε maioris interpunctionis signo — 85 Daniel XIII 19

κρυπτῶν γάμων λέχη ποθοῦντες ἥκομεν, φίλα·
ἡ δ᾽ ἐντρόμοις ἔφη βοαῖς·

ἁγνεύω σοι καὶ λαμπάδας φαεσφόρους κρατοῦσα,
νυμφίε, ὑπαντάνω σοι.

Πολλῷ με κατθανεῖν ἄμεινόν ἐστιν ἢ λέχη
προδοῦσαν, ὦ γυναιμανεῖς, ὑμῖν αἰωνίαν
δίκην ὑπ᾽ ἐμπύροις θεοῦ τιμωρίαις παθεῖν·
σῶσόν με, Χριστέ, τῶνδε νῦν.

ἁγνεύω σοι καὶ λαμπάδας φαεσφόρους κρατοῦσα,
νυμφίε, ὑπαντάνω σοι.

Ῥοαῖς καθαρσίοις λούων πλήθη βροτῶν ὁ σὸς
πρόδρομος ἀνόμως κακοῦ πρὸς ἀνδρὸς εἰς σφαγὴν
ἤχθη δι᾽ ἁγνείαν, λύθρῳ δὲ φοινίῳ κόνιν
δεύων ἔκραζέ σοι, μάκαρ·

ἁγνεύω σοι καὶ λαμπάδας φαεσφόρους κρατοῦσα,
νυμφίε, ὑπαντάνω σοι.

Σοῦ καὶ ζωητόκος χάρις [ἄθικτος] ἄτεγκτος, ἀσπίλους
τὰς σὰς γονὰς ἐν ἀσπόρῳ φέρουσα νηδύϊ
μορφὴν ὑπέσχεν ὡς προδοῦσα λέκτρα παρθένος·
ἔλεξε δ᾽ ἔγκυος, μάκαρ·

ἁγνεύω σοι καὶ λαμπάδας φαεσφόρους κρατοῦσα,
νυμφίε, ὑπαντάνω σοι.

Τὴν σήν, μάκαρ, γαμήλιον ποθοῦντες ἁμέραν
ἰδεῖν, ὅσους ἄνωθεν αὐτός, ἀγγέλων ἄναξ,
κέκληκας, ἥκουσιν μέγιστα δῶρά σοι, λόγε,
φέροντες ἀσπίλοις στολαῖς.

ἁγνεύω σοι καὶ λαμπάδας φαεσφόρους κρατοῦσα,
νυμφίε, ὑπαντάνω σοι.

Ὕμνοις, μάκαιρα θεόνυμφε, θαλαμηπόλοι
αἰὲν γεραίρομέν σε νῦν, ἄθικτε παρθένε,
ἐκκλησία χιονόσωμε, κυανοβόστρυχε,
σῶφρον, ἄμωμ᾽, ἐρασμία.

ἁγνεύω σοι καὶ λαμπάδας φαεσφόρους κρατοῦσα,
νυμφίε, ὑπαντάνω σοι.

---

97 Marc. VI 27 — 103 Matth. I 18 — ἄθικτος uncinis inclusimus — 110 Matth. II 1 — 116 αἰὲν σε vulgo, nos pronomen eiecimus — 117 aut κυανοβόστρυχε coalescentibus duabus vocalibus primis recitandum, aut ἰοβόστρυχε emendandum est

Φθορὰ πέφευγε καὶ νόcων πόνοι δακρυcταγεῖc,
θάνατοc ἡρέθη, ὄλωλε πᾶc' ἀφροcύνη,
λύπη τέθνηκε τηξίφρων, ἔλαμψε δ' ἡ θεοῦ [Χριcτοῦ]
χάριc βροτοῖc ἄφνω πάλιν.

ἁγνεύω coι καὶ λαμπάδαc φαεcφόρουc κρατοῦcα,
νυμφίε, ὑπαντάνω coι.

Χῆροc βροτῶν ὁ παράδειcόc ἐcτιν οὐκέτι·
πάλιν γὰρ αὐτὸν ἐκ θείαc, ὥcπερ τὸ πρὶν, ταγῆc
οἰκεῖ τέχναιc ὁ ποικίλαιc δράκοντοc ἐκπεcὼν,
ἄφθαρτοc, ἄφοβοc, μάκαρ.

ἁγνεύω coι καὶ λαμπάδαc φαεcφόρουc κρατοῦcα,
νυμφίε, ὑπαντάνω coι.

Ψάλλων τὸ καινὸν ᾆcμα νῦν χορόc cε παρθένων
καθιcτάνει πρὸc οὐρανοὺc, ἄναccα, caφῶc ὅλοc
ἐcτεμμένοc λευκοῖc κρίνων κάλυξι καὶ φλόγαc
χερcὶν cελαcφόρουc φέρων.

ἁγνεύω coι καὶ λαμπάδαc φαεcφόρουc κρατοῦcα,
νυμφίε, ὑπαντάνω coι.

Ὦ τὰc ἀχράντουc οὐρανοῦ, μάκαρ, ναίων ἕδραc,
ἄναρχε, πάντα cυγκρατῶν αἰωνίῳ κράτει,
δέξαι cὺν παιδὶ cῷ, πάρεcμεν, ἔνδον εἰc ζωῆc
πύλαc, πάτερ, καὶ ἡμέαc.

ἁγνεύω coι καὶ λαμπάδαc φαεcφόρουc κρατοῦcα,
νυμφίε, ὑπαντάνω coι.

ΚΛΗΜΕΝΤΟϹ ΑΛΕΞΑΝΔΡΙΝΟΥ ΥΜΝΟϹ.

[Cτόμιον πώλων ἀδαῶν,
πτερὸν ὀρνίθων ἀπλανῶν,
οἴαξ νηπίων ἀτρεκὴc,
ποιμὴν ἀρνῶν βαcιλικῶν·
τοὺc cοὺc ἀφελεῖc | παῖδαc ἄγειρον
αἰνεῖν ἁγίωc, | ὑμνεῖν ἀδόλωc

123 λύπη ex fine proximi versus in huius initium retraximus — Χριcτοῦ uncinis inclusimus — 127 ὁ ante παράδειcοc addidimus — 134 fort.: ἄναccα, φωcφόροc

Clemens Alex. Paedagogi l. III c. XII sub finem haec: Ἐπεὶ δὲ εἰc τὴν ἐκκληcίαν ἡμᾶc καταcτήcαc ὁ παιδαγωγὸc αὐτὸc ἑαυτῷ παρακατέθετο τῷ διδαcκαλικῷ καὶ πανεπιcκόπῳ λόγῳ, καλῶc ἂν ἔχοι ἡμᾶc ἐνταῦθα γενομένουc μιcθὸν εὐχαριcτίαc δικαίαc κατάλληλον

ἀκάκοιϲ ϲτόμαϲιν
παίδων ἡγήτορα Χριϲτόν.]

Βαϲιλεῦ ἁγίων, | λόγε πανδαμάτωρ
πατρὸϲ ὑψίϲτου, | ϲοφίαϲ πρύτανι,
ϲτήριγμα πόνων | αἰωνοχαρὲϲ,
βροτέαϲ γενεᾶϲ | ϲῶτερ Ἰηϲοῦ,
ποιμὴν, ἀροτὴρ, | οἴαξ, ϲτόμιον,
πτερὸν οὐράνιον | παναγοῦϲ ποίμνηϲ,
ἁλιεῦ μερόπων | τῶν ϲωζομένων,
πελάγουϲ κακίαϲ | ἰχθῦϲ ἁγνοὺϲ
κύματοϲ ἐχθροῦ
γλυκερᾷ ζωῇ δελεάζων.
Ἡγοῦ, προβάτων | λογικῶν ποιμὴν,
ἅγιε, ἡγοῦ,
βαϲιλεῦ παίδων ἀνεπάφων.

Ἴχνια Χριϲτοῦ, | ὁδὸϲ οὐρανία,
λόγοϲ ἀέναοϲ, | αἰὼν ἄπλετοϲ,
φῶϲ ἀΐδιον, | ἐλέουϲ πηγὴ,
ῥεκτὴρ ἀρετῆϲ,
ϲεμνὴ βιοτὴ | θεὸν ὑμνούντων,
Χριϲτὲ Ἰηϲοῦ, | γάλα οὐράνιον
μαϲτῶν γλυκερῶν | νύμφηϲ Χαρίτων,
ϲοφίαϲ τῆϲ ϲῆϲ, ἐκθλιβόντων,
τοὺϲ ϲοὺϲ ἀφελεῖϲ | παῖδαϲ ἄγειρον,
αἰνεῖν ἁγίωϲ, | ὑμνεῖν ἀδόλωϲ
ἀκάκοιϲ ϲτόμαϲιν
παίδων ἡγητόρα Χριϲτόν.

Οἱ νηπίαχοι | ἀταλοῖϲ ϲτόμαϲιν
ἀτιταλλόμενοι | θηλῆϲ λογικῆϲ,
πνεύματι δροϲερῷ | ἐμπιπλάμενοι
αἴνουϲ ἀφελεῖϲ, | ὕμνουϲ ἀτρεκεῖϲ
βαϲιλεῖ Χριϲτῷ | μιϲθοὺϲ ὁϲίουϲ
ζωῆϲ διδαχῆϲ | μέλπωμεν ὁμοῦ·
μέλπωμεν ἁπλῶϲ | παῖδα κρατερὸν
χορὸϲ εἰρήνηϲ, | οἱ χριϲτόγονοι,
λαὸϲ ϲώφρων,
ψάλλωμεν ὁμοῦ | θεὸν εἰρήνηϲ.

ΥΜΝΟΙ ΑΔΕϹΠΟΤΟΙ.

ΥΜΝΟϹ ΕΩΘΙΝΟϹ.

Δόξα ἐν ὑψίϲτοιϲ θεῷ, καὶ ἐπὶ γῆϲ εἰρήνη,
ἐν ἀνθρώποιϲ εὐδοκία·
Αἰνοῦμέν ϲε, εὐλογοῦμέν ϲε, εὐχαριϲτοῦμέν ϲοι,
προϲκυνοῦμέν ϲε, δοξολογοῦμέν ϲε
διὰ τὴν μεγάλην ϲου δόξαν.

ἀϲτείου παιδαγωγίαϲ αἶνον ἀναπέμψαι κυρίῳ. Ὕμνοϲ τοῦ ϲωτῆροϲ Χριϲτοῦ τοῦ ἁγίου Κλήμεντοϲ — 3 οἴαξ νηῶν Canter, at conf. prolegg. — 4 βαϲιλεῦ Thierfelder, βαϲιλείων G. Dindorf — vv. 1—4 extremam quamque vocem rescindit Cobet in Λογίῳ Ἑρμῇ I 494; nos in Prolegg. docuimus primos quatuor versus ab recentiore poeta additos, proximos quatuor post v. 29 collocandos esse — 10 γλυκερῇ codd. — 12 ἁγίων coni. Thierfelder — 13 ἀνεφάπτων coni. G. Dindorf — 14 ἴχνια Χριϲτοῦ ab interpolatore nescio quo addita esse iudicat Thierfelder — 21 ἐκθλιβόντων nos: ἐκθλιβόμενον codd. — 35 ψάλλωμεν Canter: ψάλωμεν codd. — θεὸν αὐτόν veri similiter coni. G. Dindorf.

Matutinum hunc hymnum vetustissimum ex cod. Alexandrino versionis graecae Testamenti veteris expressimus; consuluimus praeterea cod. Mon. gr. n. 320 membr. s. XII (F), quo vetus Ὡρολόγιον continetur, et cod. Mon. lat. N. 19440 s. XII olim Tegernseensem (T), qui folio secundo hunc hymnum usque ad v. 14 notis musicis instructum exhibet; denique significavimus magnas discrepantias codicum Constitutionum apostolorum, quarum libro septimo hic hymnus subiectus est. — vv. 1. 2 = Luc. II 14 — 2 eudokias F — 3. 4 εὐχαριϲτοῦμεν ϲε προϲκυνοῦμεν ϲε (om. δοξ. ϲε) F prosk. se dox. se euch. soi T αἰνοῦμέν ϲε,

Κύριε βαcιλεῦ, ἐπουράνιε, θεὲ πατὴρ παντοκράτωρ,
    κύριε υἱὲ μονογενὲc, Ἰηcοῦ Χριcτὲ,
    καὶ ἅγιον πνεῦμα·
Κύριε ὁ θεὸc, ὁ ἀμνὸc τοῦ θεοῦ, ὁ υἱὸc τοῦ πατρὸc,
    ὁ αἴρων τὰc ἁμαρτίαc τοῦ κόcμου, ἐλέηcον ἡμᾶc·
    ὁ αἴρων τὰc ἁμαρτίαc τοῦ κόcμου, πρόcδεξαι τὴν δέηcιν ἡμῶν·
    ὁ καθήμενοc ἐν δεξιᾷ τοῦ πατρὸc, ἐλέηcον ἡμᾶc·
Ὅτι cὺ εἶ μόνοc ἅγιοc, cὺ εἶ μόνοc κύριοc,
    Ἰηcοῦc Χριcτὸc, εἰc δόξαν θεοῦ πατρόc. Ἀμήν.

Καθ' ἑκάcτην ἡμέραν εὐλογήcω cε
    καὶ αἰνέcω τὸ ὄνομά cου εἰc τὸν αἰῶνα
    καὶ εἰc τὸν αἰῶνα τοῦ αἰῶνοc.
Καταξίωcον κύριε, καὶ τὴν ἡμέραν ταύτην
    ἀναμαρτήτουc φυλαχθῆναι ἡμᾶc.
Εὐλογητὸc εἶ κύριε ὁ θεὸc τῶν πατέρων ἡμῶν
    καὶ αἰνετὸν καὶ δεδοξαcμένον τὸ ὄνομά cου
    εἰc τοὺc αἰῶναc. ἀμήν.
Εὐλογητὸc εἶ κύριε, δίδαξόν με τὰ δικαιώματά cου.
Εὐλογητὸc εἶ κύριε, δίδαξόν με τὰ δικαιώματά cου.
Εὐλογητὸc εἶ κύριε, δίδαξόν με τὰ δικαιώματά cου.
Κύριε καταφυγὴ ἐγενήθηc ἡμῖν ἐν γενεᾷ καὶ γενεᾷ·
    ἐγὼ εἶπα· κύριε ἐλέηcόν με,
    ἴαcαι τὴν ψυχήν μου, ὅτι ἥμαρτόν cοι.
Κύριε πρὸc cὲ κατέφυγα· δίδαξόν με τοῦ ποιεῖν τὸ θέλημά cου,
    ὅτι cὺ εἶ ὁ θεόc μου,
    ὅτι παρὰ cοὶ πηγὴ ζωῆc.
Ἐν τῷ φωτί cου ὀψόμεθα φῶc·
    παράτεινον τὸ ἔλεόc cου τοῖc γινώcκουcίν cε.

ΥΜΝΟС ЄСΠЄΡΙΝΟС.

Αἰνεῖτε, παῖδεc, κύριον,
    αἰνεῖτε τὸ ὄνομα κυρίου·

ὑμνοῦμέν cε, εὐλογοῦμέν cε, δοξολογοῦμέν cε, προcκυνοῦμέν cε, διὰ τοῦ μεγάλου ἀρχιερέωc, cὲ τὸν ὄντα θεὸν, ἀγέννητον ἕνα, ἀπρόcιτον μόνον, διὰ τὴν μεγάλην cου δόξαν codd. Const. apost. — 6 πάτερ παντοκράτορ F — 7 sqq. κύριε ὁ θεὸc ὁ πατὴρ τοῦ Χριcτοῦ τοῦ ἀμώμου ἀμνοῦ, ὃc αἴρει τὴν ἁμαρτίαν τοῦ κόcμου, πρόcδεξαι codd. aliquot Const. apost. — 7 μονογενὲc ex μονογενῆ corr. cod. Alex. — 8 om. T — 10. 11 τὴν ἁμαρτίαν FT — 11 πρόcδεξαι FT: ἐλέηcον ἡμᾶc πρόcδεξαι cod. Alex. — 12 καθήμενοc ἐπὶ τῶν Χερουβείμ codd. aliquot Const. apost. — καὶ ἐλέηcον F — 13 cὺ εἶ μόνοc ὕψιcτοc post κύριοc add. FT — 14 Χριcτὸc τοῦ θεοῦ πάcηc γεννητῆc φύcεωc, τοῦ βαcιλέωc ἡμῶν, δι' οὗ cοι δόξα, τιμὴ καὶ cέβαc codd. aliquot Const. apost. — χριcτε ειν αγιω πνευμαθι ιc δωξαν θηου παθρωc αμιν T — 15—33 om. T. et Const. apost. — 18 ἐν τῇ ἡμέρα F — 19 ἀναμαρτήτωc cod. Alex. — 24 εὐλογητὸc εἶ δέcποτα cυνέτιcον (corr. in cυνέθιcον) με τὰ δικαιώματά cου F — 25 εὐλογητὸc εἶ ἅγιε φώτιcόν με τοῖc δικαιώμαcί cου F — 29 κατέφυγον F — exspectamus τὸ ποιεῖν

Superiori hymno hic hymnus vespertinus subiectus est in calce libri septimi Constitutionum apostolicarum, unde repetendum eum curavimus

αἰνοῦμέν ϲε, ὑμνοῦμέν ϲε, εὐλογοῦμέν ϲε
διὰ τὴν μεγάλην ϲου δόξαν.
Κύριε βαϲιλεῦ ὁ πατὴρ τοῦ Χριϲτοῦ τοῦ ἀμώμου ἀμνοῦ,
ὃϲ αἴρει τὴν ἁμαρτίαν τοῦ κόϲμου,
Ϲοὶ πρέπει αἶνοϲ, ϲοὶ πρέπει ὕμνοϲ, ϲοὶ δόξα πρέπει
τῷ πατρὶ καὶ τῷ υἱῷ καὶ τῷ ἁγίῳ πνεύματι
εἰϲ τοὺϲ αἰῶναϲ τῶν αἰώνων. ἀμήν.

Νῦν ἀπολύειϲ τὸν δοῦλόν ϲου, δέϲποτα,
κατὰ τὸ ῥῆμά ϲου ἐν εἰρήνῃ·
ὅτι εἶδον οἱ ὀφθαλμοί μου τὸ ϲωτήριόν ϲου,
ὃ ἡτοίμαϲαϲ κατὰ πρόϲωπον πάντων τῶν λαῶν,
φῶϲ εἰϲ ἀποκάλυψιν ἐθνῶν καὶ δόξαν λαοῦ ϲου Ἰϲραήλ.

ΥΜΝΟϹ ΕΠΙΛΥΧΝΙΟϹ.

Φῶϲ ἱλαρὸν ἁγίαϲ δόξηϲ,
ἀθανάτου πατρὸϲ οὐρανίου,
ἁγίου, μάκαροϲ,
Ἰηϲοῦ Χριϲτὲ,
ἐλθόντεϲ ἐπὶ τὴν ἡλίου δύϲιν,
ἰδόντεϲ φῶϲ ἑϲπερινὸν
ὑμνοῦμεν πατέρα, υἱὸν
καὶ ἅγιον πνεῦμα θεόν.
Ἄξιοϲ εἶ ἐν πᾶϲι καιροῖϲ
ὑμνεῖϲθαι φωναῖϲ αἰϲίαιϲ,
υἱὲ θεοῦ, ζωὴν ὁ διδούϲ·
διὸ κόϲμοϲ ϲε δοξάζει.

ΕΥΧΗ ΕΠ' ΑΡΙϹΤΩι.

Εὐλογητὸϲ εἶ, κύριε ὁ τρέφων με ἐκ νεότητόϲ μου,
ὁ διδοὺϲ τροφὴν πάϲῃ ϲαρκί.
Πλήρωϲον χαρᾶϲ καὶ εὐφροϲύνηϲ τὰϲ καρδίαϲ ἡμῶν,
ἵνα πάντοτε πᾶϲαν αὐτάρκειαν ἔχοντεϲ
περιϲϲεύωμεν εἰϲ πᾶν ἔργον ἀγαθὸν
ἐν Χριϲτῷ Ἰηϲοῦ τῷ κυρίῳ ἡμῶν·
μεθ' οὗ ϲοι δόξα, τιμὴ καὶ κράτοϲ
εἰϲ τοὺϲ αἰῶναϲ. ἀμήν.

---

7 πρέπει δόξα cod. Vind. n, 47 — 8 τῷ θεῷ καὶ πατρὶ διὰ τοῦ υἱοῦ ἐν πνεύματι τῷ παναγίῳ cod, Vind. n. 47 et sic fere Pitrae codd. Vaticc. — vv. 10-14 = Luc. II 29—32

Alterum hunc hymnum vespertinum repetivimus ex cod. Mon. n. 320 s. XII (F) — titulum omittit, quattuor priora cola non divisa exhibet F — 4 χριϲτοῦ F — 5 ἐλθόντοϲ F — 9 ἄξιον ϲε Horologii ed. Veneta a. 1831 — 10 ὁϲίαιϲ Dan.

Hae preces coenatoriae agmen claudunt hymnorum libro septimo Const. apost. subiectorum — v. 1 ἡμᾶϲ ἐκ νε. ἡμῶν Pitrae cod. Vat. n. 5 — 3 πάϲηϲ εὐφροϲύνηϲ idem cod. — 7 δι' οὗ cod. Vind. n. 47 et Pitrae codd. Vaticc. — τιμὴ ϲέβαϲ εἰϲ Pitrae cod. Vat. n. 5

PARS ALTERA.



CARMINA CHRISTIANA BYZANTINA.

ϹΩΦΡΟΝΙΟΥ ΑΝΑΚΡΕΟΝΤΕΙΑ.

ΕΙϹ ΤΟΝ ΑΓΙΟΝ ΠΑΥΛΟΝ ΤΟΝ ΑΠΟϹΤΟΛΟΝ.

Ἀρετῶν μέλιττα, Παῦλε,
ἐπὶ cοὺc ἄγειc με cίμβλουc,
ἵνα cὸν μέλι τρυγήcαc
ἱερῆc τροφῆc μετάcχω.
Βαcιλεῦ μελῶν προφῆτα,
κιθάρην δίδου τινάccειν,
ἀρετῶν ὅπωc γενάρχην
μέλεcιν cοφοῖcι μέλψω.
Γένοc Ἀβραὰμ φυτεύει
τὸν μέγαν θεοῖο λάτρην,
Κιλίκων τρέφουcι Ταρcοὶ
ἐπὶ γῆc φανέντα Παῦλον.
Δρόμον ἐκ βρέφουc ὁδεύων
ἁγίων cοφῆc γενέθληc
ἰδίην ἀφῆκε πάτρην,
πατέρων πόλιν γεραιήν.
Ῥίζα φιλευcεβέων ἔπλεο, Παῦλε,
ἐν χθονὶ τετραπόρῳ γείναο μόcχουc.
Ἐδιδάcκετο προθύμωc
ἱερὰc γραφὰc τοκήων
Ἱερουcαλὴμ κατ' ἄcτυ
ὑπὸ τῶν cοφὰ φρονούντων.
Ζαθέουc νόμουc τελέccαc
Φαριcαῖοc ἦν ἐc ἄκρον,
ὅθεν εὐcεβῶν ὑπῆρχεν
ἑτέρων πλέον διώκτηc.
Θαλάμουc δὲ τοὺc δικαίων
ἀγρίωc ὅλουc ἐπόρθει,
ἁγίουc δὲ τοὺc ἐν ἄcτει
ἐδίδου φέρων φονεύειν.
Ὢ φρενὸc, ὢ μανίηc, ἧc πέλε Παῦλοc,
ὅττι cοφῶν ἀγέλην πᾶcαν ἀνῄρει.
Ἱερὴν ἔβαλλε πίcτιν
μανικὸc πέλων διώκτηc,
κατὰ τὰc πόλειc δὲ βαίνων
ἁγίουc κόλαζε πάνταc.
Κακὰ γράμματα γραφέντα
λάβεν ἐκ κακῶν προέδρων,
ἁγίουc, ὅcουc Δαμαcκὸc
τρέφε, δεcμίουc κομίccαι.
Λόγοc ἐκ πόλου προκύψαc,
ὁ λόγῳ πόλον κυλίνδων,
ἅμα φωτὶ παμμεγίcτῳ
τρέπεν ὡc τάχιcτα Παῦλον.
Μέcον ἡμέραc δὲ λάμψαc,
φάοc ὀμμάτων ἀπούραc
κατὰ γῆν τάνυccε Cαῦλον,
κατὰ γῆν κακῶc μανέντα.
Χριcτὸc ὅλων μεδέων cὺν γενετῆρι
Παῦλον ἀπ' ἀντιβίων τεύξατο λάτρην.
Νοέειν δὲ τὸν βαλόντα
ὁ βαλὼν θέλων τυπέντα
λέγεν ἡμέρωc Ἰηcοῦc
ἐπὶ γῆc πεcόντι Cαύλῳ.
Ξένον εὐcεβοῦcι ῥέζειc,
ἐμὲ, Cαῦλε, νῦν διώκων·
ἀπαμείβεται δὲ Cαῦλοc·
λέγε μοι, τίc αὐτὸc ἔcκεc;
Ὁ θεὸc πάλιν βοήcαc
φάτο πρὸc λαλοῦντα Cαῦλον,
τελέθω, λέγων, Ἰηcοῦc
ἀπὸ Ναζαρὲθ πολίχνηc.
Πάλιν ὁ φέρων τὰ πάντα,
τελέθω, ὃν ἐκδιώκειc·
βαρύ cοι πόδαc τιταίνειν
ἀταλοὺc πρὸc ὀρθὰ κέντρα.
Ἀχλύοc ἠερίηc, ἔμπλεε Παῦλε,
εἰπὲ, πόθεν cτεροπὰc πᾶcι φαείνειc;
Ῥυπαρὸν ζόφον κομίζων
βλεφάροιc ἐc ἄcτυ βαίνοιc,
ὅθι cοι πάλιν λαλήcω,
ἅ cε, Παῦλε, δεῖ τελέccαι.

Sophronii carmina Anacreontea ex Maii Spicilegio romano repetivimus, cuius in quarto tomo Matranga haec carmina ex cod. Barberino n. 246 primus edidit — 10 ὁ μέγαc θεοῖο λάτρηc Matr. — 16 γεραιήν nos: γενεήν Matr. — 31 φρένεc cod. — 53 ἡμέραc Matr. — 55 ῥέξειc Matr. — 68 cτεροπαῖc Matr. — 70 βαίνειc Matr.

Cὺ γὰρ ἔθνεcιν φαείνοιc
θεϊκὸν φάοc διδάcκων,
cὺ τὸν Ἰcραὴλ ἐλέγξειc
γενεὴν ἄπιcτον οὖcαν.
Τότε δὴ μαθὼν ὁ Cαῦλοc,
ὅτι Χριcτὸc αὐτὸc ἕλκει,
ἑτάρων χέραc κρατούντων
ἅτε τυφλὸc ἠκολούθει.
Ὑπονυκτίῳ δὲ λήξει
ὄναρ ἐμφανεὶc ὁ Χριcτὸc
Ἀνανίαν ἄνδρα θεῖον
ἐπὶ Cαῦλον εὐθὺ πέμψεν.
Φεγγοτόκον cκοτίην | ἔδρακε Παῦλοc,
Ὄφρα βροτῶν ζοφερὰν | ἀχλὺν ἀπάξει.

Φοβεροῖc λόγοιcιν εἴξαc
Ἀνανίαc ἐc διώκτην
δράμεν ὄμμαcιν κομίζων
τὸ διπλοῦν διπλοῖcι φέγγοc.
Χαλεπὸν ζόφον δὲ ῥίψαc
κραδίηc κόρον τε Cαῦλοc,
λοετρὸν δὲ θεῖον ἐνδὺc
χάριτοc θεοῦ γεμίcθη.
Ψόγον ἀθλίων Ἑβραίων
ὅλον ἀνδρικῶc πατήcαc
cυνέχευε λυγρὸν ἔθνοc,
τριάδα βροτοὺc διδάcκων.
Φωτὸc ἀειγενέοc, | Παῦλε, γεμιcθεὶc
φωτογόνουc δαΐδαc | πᾶcιν ἐρίζειc.

β′
ΕΙC ΤΗΝ ΑΓΙΑΝ ΠΡΩΤΟΜΑΡΤΥΡΑ ΘΕΚΛΑΝ.

Ἀπ᾽ ἀειλάλων μελιccῶν,
ἀπ᾽ ἀκηράτων τε cίμβλων
δότε μοι μέλι τρυγῆcαι,
ἱερεῖc θεοῦ προφῆται.
Βροτέην λύρην γὰρ ὄντωc
νοερῶν ἐφ᾽ ὕψουc ἄθλων
ἀκλεὲc πέλει δονῆcαι
ἀγανῆc μάλιcτα Θέκληc.
Γόνοc ἀφθίτου θεοῖο
μέλοc ἄφθιτον προπέμψοι,
ἵνα παρθένον γε νύμφην
ἰδίῃ, πάναγνε, μέλψω.
Δρομέωc χοροὺc τελεῖτε,
ἀγαθοὶ νέοι τε κοῦραι,
ὅτε πνεῦμα θεῖον ἦλθεν
μέλοc εὔθροον κομίζον.
Ἱεραὶ παρθενικαί, παcτάδα Θέκληc
cτεφάνοιc ἀθανάτοιc cτέψατε νύμφηc.
Ἐλεῶν θεὸc τὰ πάντα
ἐc ἀκοcμίην πεcόντα
τέκοc ὤπαcεν caώζειν,
βρότεον δέμαc κομίζον.
Ζαθέωc δὲ πάντα cώcαc
πάλιν ἐc πόλον μετῆλθεν,
ἐπί τε θρόνου καθέcθη
ἐνὶ δεξιοῖc τοκῆοc.
Θεὸν ὡc θεοῦ τε παῖδα
ὁ cοφὸc δίδαcκε Παῦλοc
μέροπαc cέβειν Ἰηcοῦν
βίον ἀγλαόν τε τίειν.
Λαγόνων ἐξ ἀγάμων Χριcτὸc ἐτέχθη,
διὸ τὴν παρθενίην ἤραο, Θέκλη.
Ἱεροὺc λόγουc δὲ Παύλου
θυρίδων ἀπ᾽ εὐτορεύτων
cταθερῇ κλύουcα Θέκλη
ἀγαθὴν ἔδεκτο πίcτιν.
Κραδίῃ πόθον λαβοῦcα
μονάγνου γόνου θεοῖο
κτεάτων ἔλειπεν ὄλβον
μετὰ μητέροc τεκούcηc,
Λογάδα, κράτιcτον ὄλβον·
Θάμυριν cτύγηcε Θέκλη,
ὃc ἀθέcφατόν γε φερνὴν
χερὸc ἐπώρα τεκούcηc.
Μεγάλην νέοc δὲ μῆνιν
κατὰ παρθένου κορύccων

99 γεμίcθηc Matr. — 100 fort.: ἐποίcειc — II 11 τε Matr. — 13 fort.: δρομικῶc — 14 νέοι τε κοῦραι] de hoc particulae τε usu Sophronii vid. v. 86 et III 50 — 22 κομίζειν Matr. — 44 fort. ἐπόρα χερόc

δολίοις λόγοις τὰ πάντα
ἐρέει νόμον κρατοῦντι.
Ῥοθίων μαχλοσύνης λεῖρα φυγοῦσα
σταθερὸς παρθενίης ὅρμος ἐτύχθης.
Νοσερῶν νόμων ὁ ἄρχων
ἱερὴν κρίσιν παρῆλθεν,
Θάμυριν θέλων ἰαίνειν,
κτεάτων δόσιν γεραίρων.
Ξένον ἀθρόως παρέσχεν
δράαν νόμον πολίταις,
διὰ σώφρονα φλεγῆναι
βίοτον Θέκλην κελεύσας.
Ὁ δὲ δὴ θεὸς τὸν ὄμβρον
μέγαν ὠκέως σταλάξας
ἀπαθῆ φύλαξε νύμφην
φλογερὴν πυρὴν ἀμέρσας.
Παρὰ δὲ φλογὸς φυγοῦσα
Συρίης κίχησεν ἄστυ,
τὸ κλυτοῦ γόνου Σελεύκου
κλυτὸν οὔνομα προφαῖνον.
Γενεῆς ἡμεριῶν μέτρα λιποῦσα,
ἀέθλους ἦλθε Θέκλη ἀγγελιωτῶν.
Ῥοδοειδέος δὲ Θέκλης
χάριν ἥρπασε προσώπου
νέος οὔνομα κρατίστου
φορέων γόνου Φιλίππου.
Σχετλίως πόθησε κούρην
στυγερὸν πόθον προχεύσας,
ταχέως δ' ἔκυσε νύμφην
μέσον ἄστεος κιοῦσαν.
Τρομερὸν φόβον δὲ Θέκλη
κραδίης ἄνευ βαλοῦσα
στεφάνους χαμᾶζ' ἔριψε,
χλαμύδα σχίσεν τε κούρου.
Ὑπὸ δ' αἴσχεος κακίστου
φλογεροῦ πόθου τε κοῦρος
ἀχέων ἔπεισεν ἀρχὸν
σταθερὴν κόρην δαμάσσαι.
Ἀγαθὸν παρθενίης ἆθλον ἀρέσθαι
ἅμα κούραις τε νέοις νεῦε ποθοῦσιν.
Φιλοδακρύου θεήτρου
μέσον ἐς κόρην ἀφεῖλκον
ἀγρίοις λέουσι βρῶσιν
φιλοποντίοις τε φώκαις.
Χαλεπῶν μόρον δὲ Θέκλην
θεόθεν πάλιν φυγοῦσαν
χαλεπωτέρων τε ταύρων,
θανέειν ἱμᾶσιν ἧψαν.
Ψαφαρὸν δ' ἱμάντα ῥήξας
ὁ θεὸς σάωσε νύμφην,
πέρας ἔνθεόν τε Θέκλης
κρατεροῖς μόγοις παρέσχεν.
Ἀέθλων ἐκ προτέρων εὐθὺς ἐπ' ἄλλους
ἀέθλους ἀνδροτέρους ἔδραμε Θέκλη.
ἐς ἀεὶ εὐμενέα Χριστὸν ἀκοίτην
τελέοις σοῖς ἱκέταις, πάγκλυτε Θέκλη.

γ'

ΕΙΣ ΤΟΝ ΠΟΘΟΝ ΟΝ ΕΙΧΕΝ ΕΙΣ ΤΗΝ ΑΓΙΑΝ ΠΟΛΙΝ ΚΑΙ ΕΙΣ ΤΟΥΣ ΣΕΒΑΣΜΙΟΥΣ ΤΟΠΟΥΣ.

Ἅγιον πόλισμα θεῖον
Ἱερουσαλήμ τ' ἐς νῦν δὴ
ἐθέλω πύλας παρεῖναι,
ἵν' ἀγαλλιῶν ἐσέλθω.
Εὐαγέων Σολύμων | ἔνθεος οἶστρος
αἰὲν ἐμὴν κραδίην | σφόδρα δαμάζει.
Βαδιῶν ἐπὶ πλακῶν σου
ἐς Ἀνάστασιν κατέλθω,
ὅθι παντάναξ ἀνέστη
θανάτου κράτος πατήσας.
Γλυκερὸν πέδον φιλήσω,
ἱερὸν κύβον κατίδω,
μέγαν οὐρανόστερόν τε
τετρα . . . . .
Διὰ βήματος θεοῖο
μέσον ἐς τάφον θεοῖο
γεγονὼς πέτρην ἐκείνην
μάλα προσκυνῶν φιλήσω.

48 an νόμων? — 49 fort. ῥεῖθρα — 50 ὁμός Matr. — 65 κλυτόν Matr. — 73 σχέτλιος Matr. — 91 χαλεπόν Matr. — 98 μόνοις Matr. — III 3 ἐθέλων Matr. — 13 locum mutilum sic equidem emendaverim atque expleverim: οὐρανόστεγόν τε | τέτρασιν φρακτόν τε στήλαις, qua de re vide nos in Prolegg. disserentem — 15 fort. δὲ θείου

Ἐπ᾿ ἀναξίου δὲ τύμβου
κίονας κύκλῳ τε κόγχας
ἀκροκρινοχρυσομόρφους
φιλέων ἄγαν χορεύσω.
Ἐπὶ τριστῴον παρέλθω
ὁλομαργαραργυρόχρουν
περικαλλέος γ᾿ ἔπαυλον
Κρανίου, τόπον προσέρπων.
Ὠκεανὸς βιοτῆς | αἰὲ βιούσης,
ἀτρεκέος τελετῆς | φωσφόρε τύμβε.
Ζάθεον μεσόμφαλόν τε
πέτραν ἐκταθεὶς φιλήσω,
ὅθι τὸ ξύλον πεπήγει
τὸ λύσαν ξύλου κατάραν.
Ὡς μέγα σεῖο κλέος, | φαίδιμε πέτρα,
σταυρὸς ὅπῃ μερόπων | λύτρον ἐπήχθη.
Θαλέων χαρᾷ δ᾿ ἐπέλθω,
ὅθι προσκυνοῦμεν, ὅσσοι
πέλομεν λεὼς θεοῖο,
ἀγλαὸν ξύλον τὸ θεῖον.
Ἵνα παμμέδων ταχύνας
κεχαραγμένῃ γραφῆος
σέβας εἰκόνι προσοίσω,
γόνατα δράμοιμι κάμψας.
Κατὰ παμφαὲς δὲ βῆμα
γεγανυμένος πορευθῶ,
ξύλον οὗ τὸ θεῖον εὗρεν
Ἑλένη μέδουσα κεδνή.
Μετὰ καρδίης δὲ πλήρους
κατανύξεως ἀνελθὼν
ὑπερώϊον, θεῶμαι
κάλαμον σπόγγον τε λόγχην.
Νεαρὸν δ᾿ ἔπειτα κάλλος,
βασιλικὴν, εὖ κατίδω,
μοναχῶν ὅπου χορεῖαι
νυχίους τελοῦσιν ὕμνους.
Ξὺν ἐμοῖς δρόμοις ποσίν τε
ἐπὶ τὴν Σιὼν ἀπέλθω,
ὅθι γλωσσοπυρσόμορφος
κατέβη χαρὰ θεοῖο·
Ὅθι μυστικὸν δὲ δεῖπνον
τελέσας ἄναξ ἁπάντων
ὀπαδῶν ἔνιψεν ἴχνη
μετριοφρόνως διδάσκων.
Ποταμῶν δίκην ἰάσεις
ἀπὸ τῆς πέτρης ἐκείνης,
θεόπαις ὅπου τανύσθη
Μαρίη, βρύουσι πᾶσιν.
Χαῖρε Σιὼν φαέθων, | ἥλιε κόσμου,
ἣν ποθέων στενάζω | νύκτωρ καὶ ἦμαρ.
Ῥαγὲν ὡς ἀφῆκεν ᾅδου
νεκάδας ζοφῶδες ἔργῳ,
τότε παντάναξ ὁ ῥήξας
ἐφάνη φίλος ἐκεῖσε.
Σκοπιὴν λιπὼν Σιών τε,
περιφὺς πέτρην, ἐφ᾿ ἥν περ
δι᾿ ἔμ᾿ ὁ πλάσας ἐτύφθη,
δόμον ἐς πετρᾶν κατέλθω.
Τόπον, οὗ κλάων στενάζων
σοφίης φίλων ὁ πρῶτος
ἐὸν ἔκλυσεν τὸ πῆμα,
χαμάδις πεσὼν φιλήσω.
Προβατικῆς ἁγίης | ἔνδοθι βαίνω,
ἔνθα τέκεν Μαρίην | πάγκλυτος Ἄννα.
Ὑποδὺς νέον νεὼν δὲ
θεομήτορος πανάγνου
φιλέων περιπλακείην
ἐρατοὺς ἔμοιγε τοίχους.
Φέρε δὴ, μάτην μετέλθω
ἀγορῆς μέσης ὁδεύων,
ὅθι πατρικοῖς ἐτέχθη
θαλάμοις ἄνασσα κούρη.
Χαμόθεν φέρων ἐκείνην
πάρετος κλίνην βεβήκει
ὑγιὴς λόγου κελεύσει,
βάσιν οὖν ἴδοιμι κείνην.

19 ἐπαναξίου Matr. — 24 ὁλομαργαρογυρόχρουν Matr. — 25 περικαλλέως Matr. — 26 προσέρπειν Matr. — 28 ἀτρεκέως τε λήθης Matr. — κάμψαι Matr. — 46 post hunc versum totam stropham intercidisse acrostichis docet — 47 κραδίης Matr. — 48 ἀνέλθω . . . . θεοῦμαι Matr. — vv. 63—66 post v. 98 in cod. collocatos huc revocandos esse alphabetica acrostichis docet — 70 σοφῶδες Matr. — 73 δὲ Matr. — 76 fort. πετρῶν — 77 στενάζω Matr. — vv. 83—86 ante v. 99 collocati leguntur in cod. — νεὼν νεὼν δέ Matr. — 87 μάτην] προβατικὴν hoc loco poeta commemorasse videtur — 91 φέρειν Matr.

Ψυχοτερπέως τρυφείην,
τέμενος γ' ἐπὰν παρέλθω
τὸ δεδεγμένον τὸ σῶμα
Μαρίης θεὸν τεκούσης.
Γεθσημανῆ τέμενος | λαμπρὸν ἀείδω,
ἔνθα τέτυκτο τάφος | μητρὶ θεοῖο.
Ὦ γλυκὺ πλεῖστα πέλεις | ἔξοχον οὖρος,
Χριστὸς ὅθεν μεδέων | οὐρανὸν ἧκεν.

ΗΛΙΟΥ ΣΥΓΚΕΛΛΟΥ.

Ἀνακρεόντειον κατανυκτικὸν ᾀδόμενὸν εἰς ἦχον πλ. δ'.

Ἀπὸ καρδίας θεμέθλων
ἀνάγω πυκνὰ στεναγμόν·
ἀνομημάτων γὰρ ἄχθος
ἀνακειμένων κλονεῖ με.
Βροτὸς ἀσθενὴς ὑπάρχω,
βαρὺ φορτίον προσαίρω·
βίον ὡς ὁδὸν παρέλκω,
βάθος εἰς κακῶν προκύπτω.
Γεφύρας δίκην προβαίνω
βίον ἄστατον τὰ τῇδε·
γόμον αἰσχύνης κακῶν μου
γοερῶς μετεμβιβάζω.
Διὰ τί, ψυχή, καθεύδεις;
διὰ τί βλέπεις ὀνείρους;
διὰ τί σκιαῖς παλαίεις;
διὰ τί τρέχεις ἀδήλως;
Ἐπὶ τοὺς τάφους πρόκυψον,
ἐπὶ τοὺς πάλαι θανέντας,
ἐφόρα φίλους γονεῖς τε,
ἐπὶ σαπρίαν δυσώδη
Ζόφον εἰσαεὶ κατοικῶν
ζοφερῶν ἔσω πυλώνων,
ζοφόεσσιν ἐν τόποισιν
ζαθέειν τε μέχρις ὥρας.
Ἀδρανὴς ἐκεῖ δυνάστης,
ἀφανὴς ὁ βασιλεύων,
ἀμαθὴς ἐκεῖ σοφός τε,
ἀπερίστατός τε πλοῦτος.
Θέασαι τὰ τερπνὰ κάλλη
θέαν οἰμωγὴν κινοῦντα,
θέασαι νέων τὰ ἄνθη
θανάτῳ καταφθαρέντα.
Ἴδε πῶς μικρὸς γενήσῃ,
ἴδε πῶς νεκρὸς τεθήσῃ,
ἴδε δόξαν ἀστατοῦσαν,
ἴδε ποῦ τύπος μετῆλθεν.
Κόνις ὀστέων δυσώδης,
κεφαλῆς τρίχες ῥέουσαι,
κρανία φθορᾶς γέμοντα
καθορῶσιν ὡς βδέλυγμα.
Λόγισαι δὲ καὶ τὸ μέλλον,
λέγε πῶς παρασταθήσῃ,
λόγον ἔνδικον ὑφέξων
λελογισμένων δι' ἔργων.
Μετὰ πλειόνων κυκλούντων
μεμονωμένος πορεύσει,
μετὰ πράξεων κρυφαίων
μέγα πρὸς θεοῖο βῆμα.
Νεότης ἄφνω παρῆλθε,
νέφος ὥσπερ ἐσκεδάσθη,
νόμον ἠθέτησα θεῖον
νενοθευμένως βιώσας.
Ξένος ἐκ καλῶν ὑπάρχω,
ξένος ἐκ δικαιοσύνης,
ξένος ἔκ τε σωφροσύνης,
ξένος ἐκ φρονήσεώς τε.
Ὅτε γυμνὸς οὖν προσέλθω
ὅλος ἠπορημένος τε,
ὀδυνηρὰ κλαυθμηρίζων,
ὀφέλειαν οὐκ ἀνοίσω.
Παρὰ τοῦ κριτοῦ δ' ἀκούσω·
πεπεδημένον λαβόντες,
πυρὸς ἐν μέσῳ βαλόντες
πικρὰ τοῦτον ἐκπυροῦτε.

96 τεμένους δ' Matr. — παρέλθω nos: τὸ σῶμα Matr.

Syncelli carmen primus ex cod. Barberino n. 246 edidit Matranga in Anecd. graec. vol. II p. 641 sqq. — 4 ἀνακειμένῳ Matr. — 10 βίον nos: γύραν cod. γῆρας Matr. — 24 an ζαθέω? — 30 fort. κινοῦσαν — 38 τρίχας ῥεούσας Matr.

Ῥύϲαι, Χριϲτὲ, τοῦ πυρόϲ με,
ῥύϲαι τοῦ ϲκότουϲ με, ϲῶτερ,
ῥύϲαί με φλογὸϲ γεέννηϲ,
ῥύϲαι τῶν πικρῶν κολαϲτῶν.
Ϲύ με Ταρτάρου ϲαώζοιϲ,
ϲκέπαϲον βρυγμῶν ὀδόντων,
ϲύ με ϲῶζε τῆϲ καμίνου
ϲτεναγμῶν τε τῶν ἀπαύϲτων.
Τίϲ ἔϲϲομαι πρὸϲ τοϲαῦτα;
τίϲ ἐκεῖ ϲυνήγορόϲ μοι;
τί γενήϲεταί μοι λύτρον;
τίνα μηχανὴν ἐφεύρω;
Ὑπέδραμε δὴ χρόνοϲ μοι,
ὑπελήλυθεν βίοϲ μοι,
ὑπέκυψα τοῖϲ ματαίοιϲ
ὑπὸ τῆϲ ἐμῆϲ ἀνοίαϲ.
Φοβερὸν τὸ ἐμπεϲεῖν με
φοβερὰϲ θεοῦ πρὸϲ χεῖραϲ·
φοβερὸν κριτήριόν γε
φυλὰϲ γηγενῶν ἐφέλκον.
Χλοερὸν παρῆλθεν ἄνθοϲ,
χρόνοϲ ἐϲτὶ νῦν θεριϲμοῦ,
χοὸϲ εἰϲκαλεῖ με μοῖρα,
χύμα πρὸϲ τάφον τιθεῖϲα.
Ψιλὸϲ εἰϲ τέλοϲ ὑπάρχω,
ψεκὰϲ αὖθιϲ ἡ τυχοῦϲα,
ψόφοϲ εὐπόριϲτοϲ αὔραϲ,
ψαμάθοιϲ νέον ἄθυρμα.
Ὁ θεὸϲ δέ μοι παράϲχου
ὅλον εἰϲ βίου τὸ λεῖπον
ὁδὸν εἰϲ μίαν βαδίζειν
ὁλόκληρον ἐντολῶν ϲου.

ΛΕΟΝΤΟϹ ΤΟΥ ΒΑϹΙΛΕΩϹ

ᾠδάριον κατανυκτικόν.

Ἆρα τίϲ γῆθεν ἀείραϲ
ἐν ϲυϲτροφῇ με Ζεφύρου
ἀκαριαίωϲ ἀποίϲει
πρὸϲ τὴν κλαυθμῶνοϲ κοιλάδα,
ἵν' ὅπωϲ μὲ τὰϲ μενούϲαϲ
ἰδὼν κολάϲειϲ θρηνήϲω;
Βαβαὶ βαβαὶ πῶϲ βρυχήϲει
γαῖα διχῇ ῥηγνυμένη
νεύϲει τῆϲ ὕπερθεν βίαϲ,
φρικώδειϲ ἀπογυμνοῦϲα
χώρουϲ τοὺϲ νῦν κεκευθμένουϲ;
φεῦ μοι τῆϲ θέαϲ ἐκείνηϲ.
Γλαφυροτόρνευτοι τάφοι,
ϲκότουϲ μεϲτοί τε καὶ γνόφου,
μυχὸϲ ἀπύθμαντοϲ ἄλλοϲ
καὶ ἀντρονύχιοϲ χάϲμη
ἐν ἀποκρύφοιϲ τηροῦνται
πᾶϲι λυγρῶϲ τοῖϲ βιοῦϲι.
Δεινῶϲ ἐκεῖϲε κοιτάζων
ὁ ἄγριοϲ αἱμοπότηϲ
βρύχει, μαιμᾷ, ϲαίνει κέρκον,
καὶ κεχηνὼϲ ἀναμένει
καταπιεῖν πικρὸϲ ϲκώληξ
τοὺϲ κατ' ἐμὲ πλημμελοῦνταϲ.
[Δακρύων ὄμβρουϲ μοι δίδου,
εὐΐλατε θεοῦ λόγε,
πρὶν κατακρύψει με τάφοϲ
ξένον, γυμνὸν εὐπραγίαϲ,
πρὶν οἱ πικροὶ φορολόγοι
ζητήϲουϲί μου τὰϲ πράξειϲ.]
Ἐκεῖ βρυγμὸϲ τῶν ὀδόντων
ὀλολυγμόϲ τε καὶ θρῆνοϲ,
τάρταροϲ ἄμοιροϲ θέρμηϲ,
ἀνήλιοϲ καὶ ϲκιώδηϲ·
ἐκεῖ πολύϲτονον πένθοϲ
καὶ ὀχετοὶ τῶν δακρύων.
Ζυγὸϲ καὶ πλάϲτιγξ τὰ ἔργα
ϲταθμίζεται δοκιμάζων,
ἀνακουφίζων, βαρύνων,
οὐ τὰ ἐϲθλὰ, τὰ δὲ φαῦλα,
ἅπερ βιῶν ἐπεπράχειν
ἐκ πονηρᾶϲ ϲυνηθείαϲ.

---

70 τεῶν Matr. — 73 fort. ἐϲοῦμαι — 75 τίϲ Matr.

Leontis in carmine recensendo usi sumus duobus codd. Monac. n. 201 (L) et n. 25 (M) — v. 7 βρυχάϲει L — 22 ἀπηνῶϲ L — 25 quintam stropham ab interpolatore adiectam esse acrostichis coarguit — 28 εὐπραξίαϲ L

Ἡ καταιγὶς ἐκθροεῖ με
καὶ ταραχὴ τῶν πνευμάτων,
τὸ αὐχμηρὸν τῆς θυέλλης
καὶ συνοχὴ τῶν κτισμάτων,
κτύποι βροντῶν ἐπαλλήλων
ἀστεροπῶν τε τὸ δέος.
Θάμβος ἰδεῖν ὑπὲρ πάντα
καὶ τρόμος ἀναπολῆσαι,
τὸν ποταμὸν τοῦ παμφάγου
πυρὸς ὁμοῦ τε καὶ λίμνην
παφλάζουσαν καὶ βριμῶσαν
ἐνδίκως με πυρπολῆσαι.
Ἰδού, ψυχὴ παναθλία,
βλεφάροις τῆς διανοίας
ἱστόρησά σοι τὰς θλίψεις
καὶ τὰς ποινὰς πρὸ τῆς δίκης·
νῆφε θερμῶς ποτνιῶσα
τῆς πείρας, τούτων ῥυσθῆναι.
Κριτής σοι πόρρωθεν ἥξει
θρονούμενος ἐν νεφέλῃ,
τὴν κτίσιν ἀνατινάσσων
νερτέρων ἐκ τῶν θεμέθλων,
κυμαίνων καὶ τὸν ἀέρα
παναλκεστάτῃ δυνάμει.
Λαῖλαψ λικμήσει τὰ ὄρη
καὶ ἀφαντώσει τὰς νάπας,
καὶ ἐν πυρὶ ἀκαμάτῳ
ἐκτεφρωθήσεται χέρσος
ἀπὸ προσώπου κυρίου
κρῖναι τὴν γῆν ἐρχομένου.
Μαρμαρυγαὶ τῶν φωστήρων
σβεσθήσονται παραυτίκα,
καὶ τῶν ἀστέρων τὰ πλήθη
οἷά περ φύλλα πεσοῦνται·
σὺ δὲ ψυχή, πῶς ὑποίσεις
τὴν ἔλευσιν τοῦ δεσπότου;
Ναμάτων θάλασσα σπάνιν
ὑφέξει δειματουμένη,
καὶ ποταμοὶ κονισθῶσι
πηγάζοντες ἀεννάως·
σὺ δέ, ψυχή, τί ποιήσεις,
τούτων φρικτῶς τελουμένων;
Ξένον ἰδέσθαι τὰ πάντα
τὸ περιέχον στοιχεῖον
πυρκαϊᾶς ἀφανείᾳ
διδόμενον ὕλης δίκην
καὶ εἱλισσόμενον αὖθις
ὡς κώδικα μεμβρανώδη.
Οἴμοι, πῶς ταῦτα, μελέα,
ἐν νῷ, ψυχή, οὐ λαμβάνεις,
ἀλλ᾽ ὑπὲρ ψάμμον θαλάσσης
ἀμνημονεῖς ἁμαρτοῦσα;
ἀδήλως, ὅθεν τὸ τέρμα
ἤδη λοιπόν σοι προσψαύσει.
Πῶς λιγυρῶς ὑπᾳδούσης
τῆς σάλπιγγος ὑπενέγκῃς;
τῶν κενεώνων γὰρ γαῖα
νέκυας ἀνασφαιρίσει,
καὶ θάλασσα τοὺς σφετέρους
τῇ φοβερᾷ ἐπιστάσει.
Ῥαγήσεται τὰ μνημεῖα
νεκάδων κατεστιγμένων
τῇ τοῦ κριτοῦ ὑπαντήσει,
Μιχαὴλ σπέρχοντος ἅμα
πάντας ῥιπῇ παραστῆσαι
τεττάρων ἐκ τῶν ἀνέμων,
Σύνες, ψυχή, μετὰ ταῦτα
φρικτοὶ πῶς τίθενται θρόνοι
καὶ ἀναπτύσσονται βίβλοι
παρισταμένων ἐν φόβῳ
ἀπείρων καὶ ἀναρίθμων
ἀγγέλων τε καὶ ἀνθρώπων.
Τότε λοιπὸν αἱ κολάσεις
δειχθήσονται, ἃς προέφην,
ἀπολαμβάνειν ἑτοίμως
τοὺς ὑπευθύνους διψῶντας,
ὧν τελευταῖος καὶ πρῶτος
μόνος ἐγὼ καὶ παντλήμων.
Ὑπαγορεύσει πραέως
ὁ δικαστὴς τοῖς ἀξίοις,

54 post nonam, decimam tertiam, decimam septimam, visesimam primam, visesimam quartam singula theotokia addunt cod. L et cod. Barberinus, quo usus est Matranga in Anecd. graec. tom. II p. 683 sqq. — 97 ἐπᾳδούσης L — 107 an κριτῇ? — 116 προέφης M — 117 ἀπολαμβάνει L — 118 διψῶσαι L et Matranga ex cod. Barberino

καλῶν αὐτοῦ βαcιλείαν
κληρονομεῖν αἰωνίαν,
καὶ αὐcτηρῶc ἁμαρτωλοὺc
τοῦ βήματοc ἀπελάcει.
Φιλανθρωπίαc cῆc ὄντωc
ἐκπέcουcιν ἀλαζόνεc
κριταί, cοφοὶ καὶ δυνάcται
καὶ βαcιλεῖc ὑπερόπται,
ἀζύγων καὶ ἱερέων,
οἴμοι, πληθὺc καὶ μιγάδων.
Χωριζομένων cυγγόνων,
γονέων, φίλων καὶ τέκνων
τίc ἐννοῶν οὐκ οἰμώξει,
τίc δὲ βαcτάcει τὸν πόνον;
θρηνήcομεν γὰρ ἀλλήλουc
εἰc τοὺc ἀπείρουc αἰῶναc.
Ψυχή, λογίζου πῶc ἄρδην
βληθήcονται εἰc κολάcειc
ἑλκόμενοι ἀποτόμωc
ὑπὸ πυρφόρων ἀγγέλων,
καὶ cτέναξον πρὸ τῆc πείραc
ἐκ βάθουc τῆc διανοίαc.
Ὦ δέcποτα τῶν αἰώνων,
πάτερ, υἱὲ καὶ τὸ πνεῦμα,
ἡ τριcυπόcτατοc μία
καὶ ἀδιαίρετοc φύcιc,
δόc μοι καιρὸν μετανοίαc
πρὸc λύcιν ἀμπλακημάτων.

ΦΩΤΙΟΥ ΤΟΥ ΠΑΤΡΙΑΡΧΟΥ

ὕμνοc ἐκ προcώπου Βαcιλείου δεcπότου.

Ἦχοc α΄.

Ἀπὸ χειλέων ὕμνον
προcφέρω cοι τῷ κτίcτῃ,
ἀπὸ καρδίαc βάθουc
cοὶ δόξαν ἀναπέμπω.
Βάθοc cου τῆc cοφίαc,
κριμάτων τὰc ἀβύccουc
τίc λόγοc ἐξυμνήcει,
δέcποτα τῶν ἀπάντων;
Γλῶccα δὲ πῶc ἐξείποι
τὸ cόν, ὕψιcτε, κράτοc,
ὢ βάθοc, ὢ cοφία
νικῶcα πάντα λόγον;
Δυνάμει ἀcυγκρίτῳ
θαυμάcια ἐργάζει,
οὐδὲν δέ cου τῇ θείᾳ
ἀνθίcταται βουλήcει.
Ἐξίcταμαι, καὶ θάμβουc
πληροῦμαι τὴν καρδίαν,
ὅταν cῆc δυναcτείαc
τὰ ἔργα ἐννοήcω.
Ζητεῖν οὐκ ἐξαρκεῖ μοι
διάνοια τὸ θαῦμα,
τὸ ὕψοc τοῦ ἐλέουc,
χαρίτων cου τὸν πλοῦτον.
Ἤγειράc με ἐκ λάκκου,
κύριε, κατωτάτου,
δυναcτῶν δὲ ἐν μέcῳ
ἔθηκαc τοῦ λαοῦ cου,
Θεέ, δέcποτα πάντων,
κύριε τοῦ ἐλέουc,
τίc λόγοc ἐξαρκέcει
πρὸc cὴν δοξολογίαν;
Ἰδὼν ὁ βλέπων πάντα
ταπείνωcιν καὶ πόνον
ἐμῆc καρδίαc λύειc
κακώcεων τὰ βάρη·
Καθάπερ μόνοc οἶδαc
πνοῆc ὁ πάcηc κτίcτηc,
ὁ ἐκ μητρὸc κοιλίαc
ὑπάρχων cκεπαcτήc μου.
Λίθῳ τὴν κεφαλήν μου
ἐκόcμηcαc τιμίῳ,
ἔδειξαc βαcιλέα
καὶ ἄρχοντα λαοῦ cου.

---

123 et 124 om. L et Matranga; iidem post v. 124 addunt: οὓc μὲν εἰc δόξαν ἐφέλκων, οὓc δὲ πρὸc ἄληκτον πένθοc — 128 ἐκπεcοῦνται reponere non ausi sumus.

Photii hymnum ex cod. Barberino n. 246 primus edidit A. Maius Spicil. rom. t. IX — 41 Psalm. XX 4

Μεγαλύνω σου, σῶτερ,
τὴν θείαν δυναστείαν,
ὅτι ὡς δυνατός μοι
εἰργάσω μεγαλεῖα.
Νεώτερος ὑπῆρχον
ἐν τέκνοις τοῦ πατρός μου,
ἀλλ', ὢ σου τῶν θαυμάτων,
ἀνέδειξας δεσπότην.
Ξενίζει πᾶσαν ὄντως
διάνοιαν τὸ θαῦμα,
καὶ ξένον γὰρ ὑπάρχει
ὡς ἔργον δεξιᾶς σου.
Ὁ πρὶν γενέσθαι πάντα
ὥσπερ παρόντα βλέπων,
ὁ πάντων βασιλεύων
ἐπάκουσον φωνῆς μου.
Πορεύεσθαι εὐθεῖαν
τῶν ἐντολῶν σου τρίβον
εὐδόκησον ὁ πρίν με
γενέσθαι ἀφορίσας.
Ῥομφαίᾳ καθοπλίσας
τῆς σῆς δυνάμεώς με,
ἐχθροὺς τοὺς ἀοράτους
ἐνίσχυσον τροποῦσθαι.
Σοφία, θεῖε λόγε
πατρὸς, ὃν ᾑρετίσω
δουλεύειν σοι, φύλαξον
ἐπώνυμον λαόν σου.
Τὰ βέλη τοῦ λαοῦ σου
ἠκονημένα δεῖξον
πηγνύμενα καρδίᾳ
ἐχθρῶν σου βασιλείας.
Ὑπὲρ ἧς τὸ σὸν αἷμα
ἐκένωσας, σωτήρ μου,
ἁγίαν ἐκκλησίαν
ἀκίνητον συντήρει.
Φιλάνθρωπε, οἰκτίρμον,
ἣν ἔδωκας εἰρήνην
τοῖς θείοις ἀποστόλοις
παράσχου τῷ λαῷ σου.
Χάριν, ἣν ἐπηγγείλω
τοῦ πνεύματος παρέξειν,
κατάπεμψον, ὁ πλάστης
ἁπάντων καὶ δεσπότης.
Ψυχῇ, ὦ ἄν, μιᾷ σου
καὶ γνώσει καὶ καρδίᾳ
ἀπαύστως εὐλογοῦμεν
τὴν θείαν βασιλείαν.
Ὦ πάντων βασιλεύων
τῶν ἄνω καὶ τῶν κάτω,
εἰς σὲ πᾶσαν ἐλπίδα
οἶδας ὡς ἀνεθέμην.
Σὺ οὖν ὡς κτίστης πάντων
θεὸς καὶ βασιλεύς μου,
ὃν ἔδωκας λαόν μοι,
τῇ δεξιᾷ σου ἄγοις.

ΑΝΤΙΦΩΝΑ.

Ἀντίφωνα ψαλλόμενα ἐν τῇ λειτουργίᾳ τοῦ Χρυσοστόμου.

Ἀντίφωνον α΄.

Ἀγαθὸν τὸ ἐξομολογεῖσθαι τῷ κυρίῳ καὶ ψάλλειν τῷ ὀνόματί σου, ὕψιστε· (Psalm. XCI 2)

Ταῖς πρεσβείαις τῆς θεοτόκου, σῶτερ, σῶσον ἡμᾶς.

Τοῦ ἀναγγέλλειν τὸ πρωΐ τὸ ἔλεός σου καὶ τὴν ἀλήθειάν σου πάσαις ταῖς ἡμέραις ἡμῶν· (Ps. XCI 3)

Ταῖς πρεσβείαις . . .

---

87 ὢ πλάστης cod. — 89 ὢ ἄν cod.: aut ὢ τάν aut ὤνα poeta scripsisse videtur — σοῦ nos: σε cod. — 93 ὁ πάντων cod. — 97 extrema stropha, si acrostichidem alphabeticam spectes, ab interpolatore, addita esse videtur.

Ὅτι εὐθὺς κύριος ὁ θεὸς ἡμῶν καὶ νῦν ἐστιν ἐν τῇ δικαιοσύνῃ τοῦ προσώπου αὐτοῦ. (Ps. X 7)

Ταῖς πρεσβείαις ...

Δόξα πατρὶ καὶ υἱῷ καὶ ἁγίῳ πνεύματι

Ταῖς πρεσβείαις ...

καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ταῖς πρεσβείαις ...

Ἀντίφωνον β΄.

Ὁ κύριος ἐβασίλευσεν, εὐπρέπειαν ἐνεδύσατο· ἐνεδύσατο κύριος δύναμιν καὶ περιεζώσατο· (Ps. XCII 1)

Ταῖς πρεσβείαις τῶν ἁγίων σου σῶσον ἡμᾶς.

Καὶ γὰρ ἐστερέωσε τὴν οἰκουμένην, ἥτις οὐ σαλευθήσεται. (Ps. XCII 1)

Ταῖς πρεσβείαις ...

Τὰ μαρτύριά σου, κύριε, ἐπιστώθησαν σφόδρα. (Ps. XCII 5)

Ταῖς πρεσβείαις ...

Δόξα πατρὶ καὶ υἱῷ καὶ ἁγίῳ πνεύματι

Ταῖς πρεσβείαις ...

καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν·

Ὁ μονογενὴς υἱὸς | καὶ λόγος τοῦ θεοῦ,
ἀθάνατος ὑπάρχων,
καὶ καταδεξάμενος διὰ τὴν ἡμετέραν σωτηρίαν
σαρκωθῆναι ἐκ τῆς ἁγίας θεοτόκου
καὶ ἀειπαρθένου Μαρίας,
ἀτρέπτως ἐνανθρωπήσας, | σταυρωθείς τε, Χριστὲ ὁ θεὸς,
θανάτῳ θάνατον πατήσας,
εἷς ὢν τῆς ἁγίας τριάδος,
συνδοξαζόμενος τῷ πατρὶ καὶ τῷ ἁγίῳ πνεύματι,
σῶσον ἡμᾶς.

Ἀντίφωνον γ΄.

Δεῦτε ἀγαλλιασώμεθα τῷ κυρίῳ, ἀλαλάξωμεν θεῷ τῷ σωτῆρι ἡμῶν. (Ps. XCIV 1)

Σῶσον ἡμᾶς, υἱὲ θεοῦ, ὁ ἐν ἁγίοις θαυμαστὸς, ψάλλοντάς σοι Ἀλληλούϊα.

Προφθάσωμεν τὸ πρόσωπον αὐτοῦ ἐν ἐξομολογήσει καὶ ἐν ψαλμοῖς ἀλαλάξωμεν αὐτῷ· (Ps. XCIV 2)

Σῶσον ἡμᾶς, υἱὲ θεοῦ ...

Ὅτι θεὸς μέγας κύριος καὶ βασιλεὺς μέγας ἐπὶ πᾶσαν τὴν γῆν· (Ps. XCIV 3)

Σῶσον ἡμᾶς, υἱὲ θεοῦ ...

Ὅτι ἐν τῇ χειρὶ αὐτοῦ τὰ πέρατα τῆς γῆς καὶ τὰ ὕψη τῶν ὀρέων αὐτὸς ὁρᾷ· (Ps. XCIV 4)

Σῶσον ἡμᾶς, υἱὲ θεοῦ ...

Ὅτι αὐτοῦ ἐστιν ἡ θάλασσα, καὶ αὐτὸς ἐποίησεν αὐτὴν, καὶ τὴν ξηρὰν ἐθεμελίωσαν αἱ χεῖρες αὐτοῦ. (Ps. XCIV 5)

Σῶσον ἡμᾶς, υἱὲ θεοῦ ...

Δόξα πατρὶ καὶ υἱῷ καὶ ἁγίῳ πνεύματι

Σῶσον ἡμᾶς, υἱὲ θεοῦ ...

καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν·
Cῶcον ἡμᾶc, υἱὲ θεοῦ . . .

Ἀντίφωνα ψαλλόμενα ἐν τῇ ἑορτῇ τοῦ εὐαγγελιcμοῦ. (Μαρτ. 25)

Ἀντίφωνον α'.

Ὁ θεὸc τὸ κρῖμά cου τῷ βαcιλεῖ δὸc καὶ τὴν δικαιοcύνην cου τῷ υἱῷ τοῦ βαcιλέωc. (Ps. LXXI 1)
Ταῖc πρεcβείαιc τῆc θεοτόκου, cῶτερ, cῶcον ἡμᾶc.
Ἀναλαβέτω τὰ ὄρη εἰρήνην τῷ λαῷ καὶ οἱ βουνοὶ δικαιοcύνην. (Ps. LXXI 3)
Ταῖc πρεcβείαιc τῆc θεοτόκου, cῶτερ, cῶcον ἡμᾶc.
Εὐαγγελίζεcθε ἡμέραν ἐξ ἡμέραc τὸ cωτήριον τοῦ θεοῦ ἡμῶν. (Ps. XCV 2)
Ταῖc πρεcβείαιc τῆc θεοτόκου, cῶτερ, cῶcον ἡμᾶc.
Ὤμοcε κύριοc τῷ Δαυῒδ ἀλήθειαν καὶ οὐ μὴ ἀθετήcει αὐτήν. (Ps. CXXXI 11)
Ταῖc πρεcβείαιc τῆc θεοτόκου, cῶτερ, cῶcον ἡμᾶc.
Δόξα πατρὶ . . . καὶ νῦν καὶ ἀεὶ . . .
Ταῖc πρεcβείαιc τῆc θεοτόκου, cῶτερ, cῶcον ἡμᾶc.

Ἀντίφωνον β'.

Καταβήcεται ὡc ὑετὸc ἐπὶ πόκον καὶ ὡcεὶ cταγὼν ἡ cτάζουcα ἐπὶ τὴν γῆν. (Ps. LXXI 6)
Cῶcον ἡμᾶc, υἱὲ θεοῦ, ὁ δι' ἡμᾶc cαρκωθεὶc, ψάλλοντάc cοι· Ἀλληλούϊα.
Ἡγίαcε τὸ cκήνωμα αὐτοῦ ὁ ὕψιcτοc. (Ps. XLV 5)
Cῶcον ἡμᾶc . . .
Ὁ θεὸc ἐμφανῶc ἥξει, ὁ θεὸc ἡμῶν, καὶ οὐ παραcιωπήcεται. (Ps. XLIX 3)
Cῶcον ἡμᾶc . . .
Ἀνατελεῖ ἐν ταῖc ἡμέραιc αὐτοῦ δικαιοcύνη καὶ πλῆθοc εἰρήνηc. (Ps. LXXI 7)
Cῶcον ἡμᾶc·
Δόξα πατρὶ . . . καὶ νῦν καὶ αἰεὶ . . .
Ὁ μονογενὴc υἱὸc καὶ λόγοc τοῦ θεοῦ . . .

Ἀντίφωνον γ'.

Ἔcται τὸ ὄνομα αὐτοῦ εὐλογημένον εἰc τοὺc αἰῶναc. (Ps. LXXI 17)
Cήμερον τῆc cωτηρίαc ἡμῶν . . . (vide apolytikion mensis Martii d. 25)
Εὐλογητὸc κύριοc ὁ θεὸc τοῦ Ἰcραὴλ, ὁ ποιῶν θαυμάcια μόνοc. (Ps. LXXI 18)
Cήμερον τῆc cωτηρίαc . . .
Εὐλογημένον τὸ ὄνομα αὐτοῦ εἰc τὸν αἰῶνα καὶ εἰc τὸν αἰῶνα τοῦ αἰῶνοc. (Ps. LXXI 19)
Cήμερον τῆc cωτηρίαc . . .

ΑΝΑΒΑΘΜΟΙ.

Ἀντίφωνον α'.

Ἐν τῷ θλίβεcθαί με | εἰcάκουcόν μου τῶν ὀδυνῶν, | κύριε, cοὶ κράζω. (Ps. CXIX)
Τοῖc ἐρημικοῖc | ἄπαυcτοc ὁ θεῖοc πόθοc ἐγγίγνεται, | κόcμου οὖcι τοῦ ματαίου ἐκτόc.
Δόξα πατρὶ καὶ υἱῷ καὶ ἁγίῳ πνεύματι
καὶ νῦν καὶ ἀεὶ καὶ εἰc τοὺc αἰῶναc τῶν αἰώνων. Ἀμήν.
Ἁγίῳ πνεύματι τιμὴ καὶ δόξα, | ὥcπερ πατρὶ πρέπει ἅμα καὶ υἱῷ
διὰ τοῦτο ᾄcωμεν τῇ τριάδι μονοκρατορίᾳ.

Ἀντίφωνον β΄.

Єἰϲ τὰ ὄρη τῶν ϲῶν | ὕψωϲάϲ με νόμων· | ἀρεταῖϲ ἐκλάμπρυνον | ὁ θεόϲ, ἵνα ὑμνῶ ϲε. (Ps. CXX)

Δεξιᾷ ϲου χειρὶ λαβὼν ϲύ, λόγε, | φύλαξόν με, | φρούρηϲον, | μὴ πῦρ με φλέξῃ τῆϲ ἁμαρτίαϲ.

Δόξα .... καὶ νῦν ....

Ἁγίῳ πνεύματι | πᾶϲα ἡ κτίϲιϲ καινουργεῖται, | παλινδρομοῦϲα εἰϲ τὸ πρῶτον· ἰϲοϲθενὲϲ γάρ ἐϲτι πατρὶ καὶ λόγῳ.

Ἀντίφωνον γ΄.

Ἐπὶ τοῖϲ εἰρηκόϲι μοι, | ὁδεύϲωμεν εἰϲ τὰϲ αὐλὰϲ τοῦ κυρίου, | εὐφράνθη μου τὸ πνεῦμα, | ϲυγχαίρει ἡ καρδία. (Ps. CXXI)

Ἐπὶ οἶκον Δαυὶδ | φόβοϲ μέγαϲ· | ἐκεῖ γὰρ θρόνων ἐκτεθέντων, | κριθήϲονται ἅπαϲαι αἱ φυλαὶ τῆϲ γῆϲ καὶ γλῶϲϲαι.

Δόξα .... καὶ νῦν ....

Ἁγίῳ πνεύματι | τιμήν, προϲκύνηϲιν, | δόξαν καὶ κράτοϲ | ὡϲ πατρί τε ἄξιον | καὶ τῷ υἱῷ δεῖ προϲφέρειν· | μονὰϲ γάρ ἐϲτιν ἡ τριὰϲ τῇ φύϲει, | ἀλλ᾽ οὐ προϲώποιϲ.

ΚΑΘΙϹΜΑΤΑ.

I

Αὐτόμελον (Ὀκτ. ϲελ. 17)
ἦχοϲ α΄.

Τὸν τάφον ϲου, ϲωτήρ,
ϲτρατιῶται τηροῦντεϲ
νεκροὶ τῇ ἀϲτραπῇ
τοῦ ὀφθέντοϲ ἀγγέλου
ἐγένοντο κηρύττοντοϲ
γυναιξὶ τὴν ἀνάϲταϲιν·
ϲὲ δοξάζομεν,
τὸν τῆϲ φθορᾶϲ καθαιρέτην,
ϲοὶ προϲπίπτομεν,
τῷ ἀναϲτάντι ἐκ τάφου
καὶ μόνῳ θεῷ ἡμῶν.

Προϲόμοια (ibid.)

Ϲταυρῷ προϲηλωθεὶϲ
ἑκουϲίωϲ, οἰκτίρμον,
ἐν μνήματι τεθεὶϲ,
ὡϲ θνητὸϲ, ζωοδότα,
τὸ κράτοϲ ϲυνέτριψαϲ,
ἀγαθὲ, τοῦ θανάτου·
ϲὲ γὰρ ἔφριξαν
οἱ πυλωροὶ οἱ τοῦ ᾅδου,
ϲὺ ϲυνήγειραϲ
τοὺϲ ἀπ᾽ αἰῶνοϲ θανόνταϲ,
ὡϲ μόνοϲ φιλάνθρωποϲ.

θεοτοκίον.

Μητέρα ϲε θεοῦ
ἐπιϲτάμεθα πάντεϲ,
παρθένον ἀληθῶϲ
[καὶ] μετὰ τόκον φανεῖϲαν,
οἱ πόθῳ καταφεύγοντεϲ
πρὸϲ τὴν ϲὴν ἀγαθότητα·
ϲὲ γὰρ ἔχομεν
ἁμαρτωλοὶ προϲταϲίαν,

καὶ κινδύνοιϲ ἀκλόνητοϲ·
μετὰ ϲφοδροῦ γὰρ
ϲάλου καὶ κλύδωνοϲ
ϲοὶ προϲραγέντα | ἀθέων κύματα
ϲὴν οὐ κατέβαλον | ἀκλινῆ ϲτερρότητα·
μαρτυρικῷ
ϲτέφει γὰρ ἐπόθηϲαϲ | ἐγκαλλωπίζεϲθαι.

Πάθει τὸ πάθοϲ μιμούμενοϲ
τὸ ζωηφόρον Χριϲτοῦ,
παρ' αὐτοῦ τὴν ἐνέργειαν
τῶν θαυμάτων εἴληφαϲ,
ἀθλοφόρε Δημήτριε·
καὶ διαϲώζειϲ | τοὺϲ ϲοὶ προϲτρέ-
χονταϲ,
πολλῶν κινδύνων | αὐτοὺϲ ῥυόμενοϲ,
ἔχων εὐάρεϲτον | παρρηϲίαν, ἔνδοξε,
πρὸϲ τὸν Χριϲτὸν·
ᾧ καὶ νῦν παρίϲταϲαι
δόξηϲ πληρούμενοϲ.

Αἵματι τῷ ϲῷ ϲταζόμενοϲ
τῷ ζωοδότῃ Χριϲτῷ
τῷ τὸ αἷμα τὸ τίμιον
διὰ ϲὲ κενώϲαντι
προϲηνέχθηϲ, Δημήτριε·
καὶ κοινωνόν ϲε | δόξηϲ εἰργάϲατο
καὶ βαϲιλείαϲ | αὐτοῦ ϲυμμέτοχον,
ὡϲ ἀριϲτεύϲαντα | κατὰ τοῦ ἀλάϲτοροϲ
καὶ τὰ δεινὰ
τούτου μηχανήματα
τελείωϲ ϲβέϲαντα.

δ'. Ϲτιχ. προϲόμ. εἰϲ τὸν ἀπόϲτολον Φίλιππον
(Νοεμ. 14).

Ὢ τοῦ παραδόξου θαύματοϲ!
ὁ τοὺϲ ἰχθύαϲ ποτὲ
ϲαγηνεύων ἀπόϲτολοϲ
τῶν ἀνθρώπων γέγονεν
ἁλιεὺϲ θεοπρόβλητοϲ·
λόγων ϲαγήνῃ | ἔθνη ἐζώγρηϲε,
ϲταυροῦ ἀγκίϲτρῳ
κόϲμον ἀνείλκυϲεν·
ὢ οἷον θήραμα | τῷ Χριϲτῷ προϲήγαγεν
ὁ θεουργόϲ!
οὗπερ τὸ μνημόϲυνον
νῦν ἑορτάζομεν.

Ὢ τοῦ παραδόξου θαύματοϲ!
ἀποϲταλεὶϲ ἐκ θεοῦ
ὁ ἀπόϲτολοϲ Φίλιπποϲ
μέϲον λύκων πρόβατον
ἀπτοήτωϲ νῦν πρόειϲι·
τοὺϲ θῆραϲ ἄρναϲ
πίϲτει ἀνέδειξε,
τὸν κόϲμον θείωϲ | μετεϲτοιχείωϲεν·
ὢ ἔργα πίϲτεωϲ!
ὢ δυνάμειϲ ἄρρητοι!
οὗ ταῖϲ εὐχαῖϲ
ϲῶϲον τὰϲ ψυχὰϲ ἡμῶν
ὡϲ μόνοϲ εὔϲπλαγχνοϲ.

Ὢ τοῦ παραδόξου θαύματοϲ!
φρέαρ πηγάζον ζωὴν
ἐν ϲοφίαϲ ἀντλήματι
τοῖϲ ἐν κόϲμῳ πέφηνεν
ὁ ἀπόϲτολοϲ Φίλιπποϲ,
ἀφ' οὗπερ ῥεῖθρα
δογμάτων πρόειϲιν,
ἐξ οὗ θαυμάτων | ῥεύματα πίνομεν·
ὢ οἷα δέδρακε | φοβερὰ τεράϲτια
ὁ θεουργόϲ!
οὗπερ τὸ μνημόϲυνον
πίϲτει γεραίρομεν.

X. γ' v. 25 tres posteriores strophae deerant in Bartholemaei codice, easque ab alio poeta adiectas esse ipsa primi versus discrepantia arguit

XI

ΘΕΟΔΩΡΟΥ

Στιχηρὰ προσόμοια νεκρώσιμα (Τριῳδ. σελ. 286).

Πρὸς τὸ «Τοῦ κήτους τὸν προφήτην.»

Τὴν μνήμην ἐκτελοῦντες τῶν μαρτύρων
κυρίῳ ἀναπέμψωμεν τοὺς ὕμνους
σήμερον | ἐνθέως εὐφραινόμενοι.

Τὰ ξίφη καὶ τὸ πῦρ μὴ πτοηθέντες
θαρροῦντες ἐν τῇ πίστει ἀθλοφόροι
τυράννους | ἐν τούτῳ κατεπλήξατε.

Θανάτῳ τὴν ζωὴν ἀντιλαβόντες
σκιρτᾶτε τὰ οὐράνια οἰκοῦντες
ἀθλοφόροι | ἔνδοξοι Χριστοῦ τοῦ θεοῦ.

Θανάτου καὶ ζωῆς ὁ κυριεύων
τοὺς πίστει μεταστάντας ἐκ τοῦ βίου,
Χριστέ, | σὺν ἁγίοις σου ἀνάπαυσον.

XII

ΑΝΔΡΕΟΥ ΠΥΡΡΟΥ

Αὐτόμελον καὶ προσόμοια εἰς τοὺς ἀποστόλους Πέτρον καὶ Παῦλον (Ἰουν. 29).

Ποίοις | εὐφημιῶν στέμμασιν
ἀναδήσωμεν Πέτρον καὶ Παῦλον;
τοὺς διῃρημένους τοῖς σώμασι
καὶ ἡνωμένους τῷ πνεύματι,
τοὺς θεοκηρύκων πρωτοστάτας·
τὸν μὲν | ὡς τῶν ἀποστόλων προεξάρχοντα,
τὸν δὲ | ὡς ὑπὲρ τοὺς ἄλλους κοπιάσαντα·
τούτους γὰρ ὄντως ἀξίους
ἀθανάτου δόξης
διαδήμασι στεφανοῖ
Χριστὸς ὁ θεὸς ἡμῶν,
ὁ ἔχων τὸ μέγα ἔλεος.

Ποίοις | ὑμνῳδιῶν ἄνθεσιν
καταστέψωμεν Πέτρον καὶ Παῦλον;
τῆς θεολογίας τὰς πτέρυγας
τὰς διαπτάσας τὰ πέρατα
καὶ πρὸς οὐρανὸν ἀνυψωθείσας,
τὰς χεῖρας | εὐαγγελίου τοῦ τῆς χάριτος,
τοὺς πόδας | τῆς ἀληθείας τοῦ κηρύγματος,
τοὺς ποταμοὺς τῆς σοφίας,
τοῦ σταυροῦ τὰ κέρα·
δι' ὧν τὴν δαιμόνων ὀφρὺν
Χριστὸς καταβέβληκεν
ὁ ἔχων τὸ μέγα ἔλεος.

Ποίοις | πνευματικοῖς ᾄσμασιν
ἐπαινέσωμεν Πέτρον καὶ Παῦλον;
τὰ τὴν ἀθεότητα σφάττοντα
μὴ ἀμβλυνόμενα στόματα
τῆς φρικτῆς τοῦ πνεύματος μαχαίρας,
τὰ Ῥώμης | περιφανῆ ἐγκαλλωπίσματα,
τὰ πάσης | τῆς οἰκουμένης ἐντρυφήματα,
τὰς τῆς καινῆς διαθήκης
θεογράφους πλάκας,
νοουμένας ἃς ἐν Σιὼν
Χριστὸς ἐξεφώνησεν
ὁ ἔχων τὸ μέγα ἔλεος.

XII. Nomen auctoris, omissum in EF, scriptum est in sticherario mosquensi, quo usus est in hoc carmine recognoscendo Pitra Hymnographie p. LXI — 3 το σώματι F — 4 τῇ χάριτι E — 5 τῶν θεοκ. F — 8 ὄντως Pitrae cod. mosqu.: μόνους EF — ἀξίους Pitrae cod. mosqu.: ἀξίως EF — 12 ἐγκωμίων F — ἄνθεσι E: κάλλεσιν F Barth. Pitra — 13 ἀνυμνήσωμεν F Barth. Pitra — 14 θεογνωσίας F Barth. Pitra — 20 κέρα nos: κέρατα EF vulgo — 21 δι' οὗ F — τὴν om. EF — 26 μὴ Pitra de coni.: καὶ μὴ E et Pitrae codd. τὰ μὴ F

XIII

'Απόστιχα προσόμοια (Τριῴδ. σελ. 201)
ἦχος β'.

Λυθέντες τῶν δεσμῶν
τῆς πάλαι καταδίκης,
πιστοὶ σταυροῦ τῷ ξύλῳ,
τὸν ἐν αὐτῷ παγέντα
Χριστὸν δοξολογήσωμεν.

Ἄγε νῦν σὺν ἡμῖν,
Δαυίδ, τὴν λύραν κίνει,
Χριστὸν ὑψοῦτε, ψάλλων,
πιστοὶ καὶ προσκυνεῖτε
αὐτοῦ τὸ ὑποπόδιον.

'Οψώμεθα λαοὶ
προκείμενον τὸ ξύλον,
δι' οὗ τὴν σωτηρίαν
ἡμῖν Χριστὸς βραβεύει,
καὶ πίστει ἀσπασώμεθα.

Σταυροθεοτοκίον.

Ὑψούμενον σταυρῷ
ὑπὲρ βροτῶν ὁρῶσα
τὸν σὸν υἱόν, παρθένε,
ἐβόας θρηνῳδοῦσα·
δόξα τῇ εὐσπλαγχνίᾳ σου.

XIV

ΜΕΓΑΛΥΝΑΡΙΑ

εἰς τὴν Ὑπαπαντὴν τοῦ Χριστοῦ (Φεβρ. 2)
ἦχος γ'.

'Ακατάληπτόν ἐστι | τὸ τελούμενον ἐν σοὶ
καὶ ἀγγέλοις καὶ βροτοῖς, | μητροπάρθενε ἁγνή.
'Αγκαλίζεται χερσὶν | ὁ πρεσβύτης Συμεὼν
τὸν τοῦ νόμου ποιητὴν | καὶ δεσπότην τοῦ παντός.
Βουληθεὶς ὁ πλαστουργός, | ἵνα σώσῃ τὸν 'Αδάμ,
μήτραν ᾤκησε τὴν σὴν | τῆς παρθένου καὶ ἁγνῆς.
Γένος ἅπαν τῶν βροτῶν | μακαρίζει σε, ἁγνή,
καὶ δοξάζει σε πιστῶς | ὡς μητέρα τοῦ θεοῦ.
Δεῦτε ἴδετε Χριστὸν | τὸν δεσπότην τοῦ παντός,
ὃν βαστάζει Συμεὼν | σήμερον ἐν τῷ ναῷ.
Ἐπιβλέπεις πρὸς τὴν γῆν | καὶ ποιεῖς τρέμειν αὐτήν·
καὶ πῶς γέρων κεκμηκὼς | σὲ κατέχει ἐν χερσί;
Ζήσας ἔτη Συμεών, | ἕως εἶδε τὸν Χριστόν,
καὶ ἐβόα πρὸς αὐτόν· | νῦν ἀπόλυσιν ζητῶ·
Ἡ λαβὶς ἡ μυστική, | ἡ τὸν ἄνθρακα Χριστὸν
συλλαβοῦσα ἐν γαστρί, | σὺ ὑπάρχεις Μαριάμ.
Θέλων ἐνηνθρώπισας | ὁ προάναρχος θεὸς
καὶ ναῷ προσφέρεσαι | τεσσαρακονθήμερος.
Κατελθόντ' ἐξ οὐρανοῦ | τὸν δεσπότην τοῦ παντὸς
ὑπεδέξατο αὐτὸν | Συμεὼν ὁ ἱερεύς.

XIV. 19 ante hunc versum duos excidisse acrostichis hoc loco interrupta arguit; in cod. J totum hoc carmen deerat

Λάμπρυνόν μου τὴν ψυχὴν | καὶ τὸ φῶς τὸ αἰσθητόν,
ὅπως ἴδω καθαρῶς | καὶ κηρύξω σε θεόν.
Μητροπάρθενε ἁγνή, | τί προσφέρεις τῷ ναῷ
νέον βρέφος ἀποδοῦς' | ἐν ἀγκάλαις Συμεών;
Νῦν ἀπόλυσιν ζητῶ | ἀπὸ σοῦ τοῦ πλαστουργοῦ,
ὅτι εἶδόν σε, Χριστέ, | τὸ σωτήριόν μου φῶς.
Ὃν οἱ ἄνω λειτουργοὶ | τρόμῳ λιτανεύουσι,
κάτω νῦν ὁ Συμεὼν | ἀγκαλίζεται χερσί.

Ἡ τῇ φύσει μὲν μονάς, | τοῖς προσώποις δὲ τριὰς
φύλαττε τοὺς δούλους σου, | τοὺς πιστεύοντας εἰς σέ.
Θεοτόκε ἡ ἐλπὶς | πάντων τῶν Χριστιανῶν,
σκέπε, φρούρει, φύλαττε | τοὺς ἐλπίζοντας εἰς σέ.

XV

ΜΕΓΑΛΥΝΑΡΙΑ

εἰς τὴν ἑορτὴν τῶν Χριστουγέννων (Δεκ. 25)

ἦχος α'.

Μεγάλυνον, ψυχή μου, | τὴν τιμιωτέραν
καὶ ἐνδοξοτέραν | τῶν ἄνω στρατευμάτων.
Μεγάλυνον, ψυχή μου, | τὸν ἐκ τῆς παρθένου
θεὸν σαρκὶ τεχθέντα.
Μεγάλυνον, ψυχή μου, | τὸν ἐν τῷ σπηλαίῳ
τεχθέντα βασιλέα.
Μεγάλυνον, ψυχή μου, | τὸν ὑπὸ τῶν μάγων
θεὸν προσκυνηθέντα.
Μεγάλυνον, ψυχή μου, | τὸν ὑπὸ ἀστέρος
τοῖς μάγοις μηνυθέντα.
Μεγάλυνον, ψυχή μου, | τὴν ἁγνὴν παρθένον
τὴν γεννησαμένην | Χριστὸν τὸν βασιλέα.
Μάγοι καὶ ποιμένες | ἦλθον προσκυνῆσαι
Χριστὸν τὸν γεννηθέντα | ἐν Βηθλεὲμ τῇ πόλει.

Σήμερον ἡ παρθένος | τίκτει τὸν δεσπότην
ἔνδον ἐν τῷ σπηλαίῳ.
Σήμερον ὁ δεσπότης | τίκτεται ὡς βρέφος
ὑπὸ μητρὸς παρθένου.
Σήμερον οἱ ποιμένες | βλέπουσι τὸν σωτῆρα
σπαργάνοις εἰλημένον | καὶ κείμενον ἐν φάτνῃ.
Σήμερον ὁ δεσπότης | ῥάκει σπαργανοῦται
ὁ ἀναφὴς ὡς βρέφος.
Σήμερον πᾶσα κτίσις | ἀγάλλεται καὶ χαίρει,
ὅτι Χριστὸς ἐτέχθη | ἐκ τῆς παρθένου κόρης.

Οὐράνιαι δυνάμεις | τεχθέντα τὸν cωτῆρα,
κύριον καὶ δεcπότην | μηνύουcι τῷ κόcμῳ.

Μεγάλυνον, ψυχή μου, | τῆc τριcυποcτάτου
καὶ ἀδιαιρέτου | θεότητοc τὸ κράτοc.
Μεγάλυνον, ψυχή μου, | τὴν λυτρωcαμένην
ἡμᾶc ἐκ τῆc κατάραc.

ΑΠΟΛΥΤΙΚΙΑ ΚΑΙ ΚΟΝΤΑΚΙΑ.

I

ΑΠΟΛΥΤΙΚΙΑ

ἀναcτάcιμα τῆc Ὀκτωήχου.

α΄. ἦχοc α΄.

Τοῦ λίθου cφραγιcθέντοc
ὑπὸ τῶν Ἰουδαίων
καὶ cτρατιωτῶν φυλαccόντων
τὸ ἄχραντόν cου cῶμα
ἀνέcτηc τριήμεροc, cωτὴρ,
δωρούμενοc τῷ κόcμῳ τὴν ζωήν·
διὰ τοῦτο αἱ δυνάμειc τῶν οὐρανῶν
ἐβόων cοι, ζωοδότα·
δόξα τῇ ἀναcτάcει cου, Χριcτέ·
δόξα τῇ βαcιλείᾳ cου·
δόξα τῇ οἰκονομίᾳ cου,
μόνε φιλάνθρωπε.

Τοῦ Γαβριὴλ φθεγξαμένου cοι,
παρθένε, τὸ χαῖρε,
cὺν τῇ φωνῇ ἐcαρκοῦτο
ὁ τῶν ὅλων δεcπότηc
ἐν cοὶ τῇ ἁγίᾳ κιβωτῷ,
ὡc ἔφη ὁ δίκαιοc Δαυΐδ·
ἐδείχθηc πλατυτέρα τῶν οὐρανῶν,
βαcτάcαcα τὴν κτίcτην cου·
δόξα τῷ ἐνοικήcαντι ἐν cοί·
δόξα τῷ προελθόντι ἐκ cοῦ·
δόξα τῷ ἐλευθερώcαντι ἡμᾶc
διὰ τοῦ τόκου cου.

β΄. ἦχοc β΄.

Ὅτε κατῆλθεc πρὸc τὸν θάνατον | ἡ ζωὴ ἡ ἀθάνατοc,
τότε τὸν ᾅδην ἐνέκρωcαc | τῇ ἀcτραπῇ τῆc θεότητοc·
ὅτε δὲ καὶ τοὺc τεθνεῶταc | ἐκ τῶν καταχθονίων ἀνέcτηcαc,
πᾶcαι αἱ δυνάμειc | τῶν ἐπουρανίων ἐκραύγαζον·
ζωοδότα Χριcτὲ ὁ θεὸc ἡμῶν, δόξα cοι·

Πάντα ὑπὲρ ἔννοιαν, | πάντα ὑπερένδοξα,
τὰ cά, θεοτόκε, μυcτήρια·
τῇ ἁγνείᾳ ἐcφραγιcμένη | καὶ παρθενίᾳ φυλαττομένη
μήτηρ ἐγνώcθηc ἀψευδήc, | θεὸν τεκοῦcα ἀληθινόν·
αὐτὸν ἱκέτευε | cωθῆναι τὰc ψυχὰc ἡμῶν.

β΄ v. 3 καὶ om. D — 4 αἱ τῶν D — 5 ἡμῶν om. D

γ' ἦχοϲ γ'.

Εὐφραινέϲθω τὰ οὐράνια, | ἀγαλλιάϲθω τὰ ἐπίγεια,
ὅτι ἐποίηϲε κράτοϲ | ἐν βραχίονι αὐτοῦ·
ὁ κύριοϲ ἐπάτηϲε | τῷ θανάτῳ τὸν θάνατον·
πρωτότοκοϲ τῶν νεκρῶν ἐγένετο,
ἐκ κοιλίαϲ ᾅδου | ἐρρύϲατο ἡμᾶϲ
καὶ παρέϲχε τῷ κόϲμῳ τὸ μέγα ἔλεοϲ.

Ϲὲ τὴν μεϲιτεύϲαϲαν, | τὴν ϲωτηρίαν τοῦ γένουϲ ἡμῶν
ἀνυμνοῦμεν, θεοτόκε παρθένε·
ἐν τῇ ϲαρκὶ γὰρ τῇ ἐκ ϲοῦ προϲληφθείϲῃ
ὁ υἱόϲ ϲου καὶ θεὸϲ ἡμῶν
τὸ διὰ ϲταυροῦ καταδεξάμενοϲ πάθοϲ
ἐλυτρώϲατο ἡμᾶϲ ἐκ φθορᾶϲ ὡϲ φιλάνθρωποϲ.

δ' ἦχοϲ δ'.

Τὸ φαιδρὸν τῆϲ ἀναϲτάϲεωϲ κήρυγμα
ἐκ τοῦ ἀγγέλου μαθοῦϲαι | αἱ τοῦ κυρίου μαθήτριαι
καὶ τὴν προγονικὴν ἀπόφαϲιν ἀπορρίψαϲαι
τοῖϲ ἀποϲτόλοιϲ καυχώμεναι ἔλεγον·
ἐϲκύλευται ὁ θάνατοϲ, | ἠγέρθη Χριϲτὸϲ ὁ θεόϲ,
δωρούμενοϲ τῷ κόϲμῳ τὸ μέγα ἔλεοϲ.

Τὸ ἀπ' αἰῶνοϲ ἀπόκρυφον | καὶ ἀγγέλοιϲ ἄγνωϲτον μυϲτήριον
διὰ ϲοῦ, θεοτόκε, | τοῖϲ ἐπὶ γῆϲ πεφανέρωται,
θεὸϲ ἐν ἀϲυγχύτῳ ἑνώϲει ϲαρκούμενοϲ
καὶ ϲταυρὸν ἑκουϲίωϲ | ὑπὲρ ἡμῶν καταδεξάμενοϲ,
δι' οὗ ἀναϲτήϲαϲ τὸν πρωτόπλαϲτον
ἔϲωϲεν ἐκ θανάτου τὰϲ ψυχὰϲ ἡμῶν.

ε' ἦχοϲ πλ. α'.

Τὸν ϲυνάναρχον λόγον | πατρὶ καὶ πνεύματι,
τὸν ἐκ παρθένου τεχθέντα | εἰϲ ϲωτηρίαν ἡμῶν
ἀνυμνήϲωμεν πιϲτοὶ | καὶ προϲκυνήϲωμεν,
ὅτι ηὐδόκηϲε ϲαρκὶ | ἀνελθεῖν ἐν τῷ ϲταυρῷ
καὶ θάνατον ὑπομεῖναι
καὶ ἐγεῖραι τοὺϲ τεθνεῶταϲ | ἐν τῇ ἐνδόξῳ ἀναϲτάϲει αὐτοῦ.

Χαῖρε, πύλη κυρίου | ἡ ἀδιόδευτοϲ·
χαῖρε, τεῖχοϲ καὶ ϲκέπη | τῶν προϲτρεχόντων εἰϲ ϲέ·
χαῖρε, ἀχείμαϲτε λιμὴν | καὶ ἀπειρόγαμε,
ἡ τεκοῦϲα ἐν ϲαρκὶ | τὸν ποιητήν ϲου καὶ θεόν,
πρεϲβεύουϲα μὴ ἐλλίπῃϲ
ὑπὲρ τῶν ἀνυμνούντων καὶ προϲκυνούντων τὸν τόκον ϲου.

ε' v. 11 μὴ παρίδῃϲ D

ϛʹ ἦχοϲ βαρύϲ.

Κατέλυϲαϲ τῷ ϲταυρῷ ϲου τὸν θάνατον,
ἠνέῳξαϲ τῷ ληϲτῇ τὸν παράδειϲον,
τῶν μυροφόρων τὸν θρῆνον μετέβαλεϲ,
καὶ τοῖϲ ἀποϲτόλοιϲ κηρύττειν ἐπέταξαϲ,
ὅτι ἀνέϲτηϲ, Χριϲτὲ ὁ θεόϲ,
παρέχων τῷ κόϲμῳ τὸ μέγα ἔλεοϲ.

Ὡϲ τῆϲ ἡμῶν ἀναϲτάϲεωϲ θηϲαύριϲμα
τοὺϲ ἐπὶ ϲοὶ πεποιθόταϲ, πανύμνητε,
ἐκ λάκκου καὶ βυθοῦ πταιϲμάτων ἀνάγαγε·
ϲὺ γὰρ τοὺϲ ὑπευθύνουϲ τῇ ἁμαρτίᾳ ἔϲωϲαϲ
τεκοῦϲα τὴν ϲωτηρίαν ἡμῶν·
ἡ πρὸ τόκου παρθένοϲ | καὶ ἐν τόκῳ παρθένοϲ
καὶ μετὰ τόκον πάλιν μένειϲ παρθένοϲ.

ζʹ ἦχοϲ πλ. δʹ.

Ἐξ ὕψουϲ κατῆλθεϲ ὁ εὔϲπλαγχνοϲ,
ταφὴν κατεδέξω τριήμερον,
ἵνα ἡμᾶϲ ἐλευθερώϲῃϲ τῶν παθῶν·
ἡ ζωὴ καὶ ἡ ἀνάϲταϲιϲ ἡμῶν, | κύριε, δόξα ϲοι.

Ὁ δι' ἡμᾶϲ γεννηθεὶϲ | ἐκ παρθένου καὶ ϲταύρωϲιν
ὑπομείναϲ, ἀγαθέ,
ὁ θανάτῳ τὸν θάνατον ϲκυλεύϲαϲ
καὶ ἔγερϲιν δείξαϲ ὡϲ θεὸϲ
μὴ παρίδῃϲ, οὓϲ ἔπλαϲαϲ τῇ χειρί ϲου·
δεῖξον τὴν φιλανθρωπίαν ϲου, ἐλεῆμον,
δέξαι τὴν τεκοῦϲάν ϲε θεοτόκον
πρεϲβεύουϲαν ὑπὲρ ἡμῶν
καὶ ϲῶϲον, ϲωτὴρ ἡμῶν, | λαὸν ἀπεγνωϲμένον.

II

ηʹ. Ἀπολυτίκιον εἰϲ τὴν μεγάλην Παραϲκευήν (Τριῳδ. ϲελ. 398)

ἦχοϲ βʹ.

Ὁ εὐϲχήμων Ἰωϲήφ,
ἀπὸ τοῦ ξύλου καθελὼν
τὸ ἄχραντόν ϲου ϲῶμα,
ϲινδόνι καθαρᾷ | εἰλήϲαϲ καὶ ἀρώμαϲιν
ἐν μνήματι καινῷ | κηδεύϲαϲ ἀπέθετο.

θʹ. Ἀπολυτίκιον εἰϲ τοὺϲ ἀποϲτόλουϲ Πέτρον καὶ Παῦλον (Ἰουν. 29)

ἦχοϲ δʹ.

Οἱ τῶν ἀποϲτόλων πρωτόθρονοι
καὶ τῆϲ οἰκουμένηϲ διδάϲκαλοι
τῷ δεϲπότῃ τῶν ὅλων πρεϲβεύϲατε,
εἰρήνην τῇ οἰκουμένῃ δωρήϲαϲθαι
καὶ ταῖϲ ψυχαῖϲ ἡμῶν τὸ μέγα ἔλεοϲ.

ϛʹ v. 4 τοῖϲ ϲοῖϲ Oct. — ὑπέταξαϲ D — 11 ἡμῶν om. Oct. — ζʹ v. 4 κύριε om. D

ι' 'Απολυτίκιον εἰς τὸ Γενέθλιον τῆς θεοτόκου (Cεπτ. 8)

ἦχος δ'.

Ἡ γέννηςίς cου, θεοτόκε, | χαρὰν ἐμήνυcε
πάcῃ τῇ οἰκουμένῃ·
ἐκ coῦ γὰρ ἀνέτειλεν | ὁ ἥλιος τῆς δικαιοςύνης,
Χριςτὸς ὁ θεὸς ἡμῶν·
καὶ λύςας τὴν κατάραν | ἔδωκε τὴν εὐλογίαν,
καὶ καταργήςας τὸν θάνατον
ἐδωρήςατο ἡμῖν ζωὴν τὴν αἰώνιον.

ια' 'Απολυτίκιον εἰς τὸν Εὐαγγελιςμὸν τῆς θεοτόκου.

ἦχος δ'.

Cήμερον τῆς cωτηρίας ἡμῶν τὸ κεφάλαιον
καὶ τοῦ ἀπ' αἰῶνος μυςτηρίου ἡ φανέρωςις·
ὁ υἱὸς τοῦ θεοῦ υἱὸς τῆς παρθένου γίνεται
καὶ Γαβριὴλ τὴν χάριν εὐαγγελίζεται·
διὸ cὺν αὐτῷ τῇ θεοτόκῳ βοήςωμεν·
χαῖρε, κεχαριτωμένη· ὁ κύριος μετὰ coῦ.

ιβ' 'Απολυτίκιον εἰς τὸν ἅγιον Νικόλαον (Δεκ. 6)

ἦχος δ'.

Κανόνα πίςτεως | καὶ εἰκόνα πραότητος,
ἐγκρατείας διδάςκαλον | ἀνέδειξέ cε τῇ ποίμνῃ cου
ἡ τῶν πραγμάτων ἀλήθεια·
διὰ τοῦτο ἐκτήςω | τῇ ταπεινώςει τὰ ὑψηλά,
τῇ πτωχείᾳ τὰ πλούςια·
πάτερ ἱεράρχα Νικόλαε,
πρέςβευε Χριςτῷ τῷ θεῷ
cωθῆναι τὰς ψυχὰς ἡμῶν.

ιγ' 'Απολυτίκιον εἰς τὸν ἅγιον Γεώργιον ('Απριλ. 23)

ἦχος δ'.

Ὡς τῶν αἰχμαλώτων ἐλευθερωτὴς
καὶ τῶν πτωχῶν ὑπεραςπιςτής,
ἀςθενούντων ἰατρός, | βαςιλέων ὑπέρμαχος,
τροπαιοφόρε μεγαλομάρτυς Γεώργιε,
πρέςβευε Χριςτῷ τῷ θεῷ
cωθῆναι τὰς ψυχὰς ἡμῶν.

ιδ' 'Απολυτίκιον εἰς Γρηγόριον τὸν θεολόγον ('Ιαν. 25)

ἦχος α'.

Ὁ ποιμενικὸς αὐλὸς τῆς θεολογίας cου
τὰς τῶν ῥητόρων ἐνίκηςε cάλπιγγας·

ὡϲ γὰρ τὰ βάθη τοῦ πνεύματοϲ ἐκζητήϲαντι
καὶ τὰ κάλλη τοῦ φθέγματοϲ προϲετέθη ϲοι·
ἀλλὰ πρέϲβευε Χριϲτῷ τῷ θεῷ, πάτερ Γρηγόριε,
ϲωθῆναι τὰϲ ψυχὰϲ ἡμῶν.

ιε′ Ἀπολυτίκιον τῆϲ Ἀναλήψεωϲ (Πεντηκ. ϲελ. 150)

ἦχοϲ πλ. β′.

Ἀνελήφθηϲ ἐν δόξῃ, Χριϲτὲ ὁ θεὸϲ ἡμῶν,
χαροποιήϲαϲ τοὺϲ μαθητὰϲ
τῇ ἐπαγγελίᾳ τοῦ ἁγίου πνεύματοϲ,
βεβαιωθέντων αὐτῶν διὰ τῆϲ εὐλογίαϲ,
ὅτι ϲὺ εἶ ὁ υἱὸϲ τοῦ θεοῦ, | ὁ λυτρωτὴϲ τοῦ κόϲμου.

ιθ′ Τροπάριον ἀναϲτάϲιμον τοῦ Πάϲχα (Πεντηκ. ϲελ. 1)

ἦχοϲ πλ. α′.

Χριϲτὸϲ ἀνέϲτη ἐκ νεκρῶν
θανάτῳ θάνατον πατήϲαϲ
καὶ τοῖϲ ἐν τοῖϲ μνήμαϲι
ζωὴν χαριϲάμενοϲ.

κα′ Σταυροθεοτοκίον

ἦχοϲ δ′.

Σφαγήν ϲου τὴν ἄδικον, Χριϲτέ,
ἡ παρθένοϲ βλέπουϲα
ὀδυρομένη ἐβόα ϲοι·
τέκνον γλυκύτατον,
πῶϲ ἀδίκωϲ πάϲχειϲ;
πῶϲ τῷ ξύλῳ κρέμαϲαι
ὁ πᾶϲαν γῆν κρεμάϲαϲ τοῖϲ ὕδαϲι;
μὴ λίπῃϲ μόνην με,
εὐεργέτα πολυέλεε,
τὴν μητέρα | καὶ δούλην ϲου, δέομαι.

ιϛ′ Κοντάκιον (Τριῳδ. ϲελ. 207)

ἦχοϲ πλ. β′.

Ψυχή μου, ψυχή μου, | ἀνάϲτα, τί καθεύδειϲ;
τὸ τέλοϲ ἐγγίζει | καὶ μέλλειϲ θορυβεῖϲθαι·
ἀνάνηψον οὖν, | ἵνα φείϲηταί ϲου Χριϲτὸϲ ὁ θεὸϲ
ὁ πανταχοῦ παρὼν | καὶ τὰ πάντα πληρῶν.

ιζ′ Κοντάκιον εἰϲ τὴν τοῦ Πάϲχα κυριακὴν (Πεντηκ. ϲελ. 3)

ἦχοϲ πλ. α′.

Εἰ καὶ ἐν τάφῳ κατῆλθεϲ, ἀθάνατε,
ἀλλὰ τοῦ ᾅδου καθεῖλεϲ τὴν δύναμιν
καὶ ἀνέϲτηϲ ὡϲ νικητήϲ, Χριϲτὲ ὁ θεόϲ,
γυναιξὶ μυροφόροιϲ | φθεγξάμενοϲ· χαίρετε·
καὶ τοῖϲ ϲοῖϲ ἀποϲτόλοιϲ | εἰρήνην δωρούμενοϲ
ὁ τοῖϲ πεϲοῦϲι παρέχων ἀνάϲταϲιν.

ΡΩΜΑΝΟΥ

ιη′ κοντάκιον εἰς τὴν Χριστοῦ γέννησιν (Δεκ. 25)

ἦχος γ′.

Ἡ παρθένος σήμερον
τὸν ὑπερούσιον τίκτει,
καὶ ἡ γῆ τὸ σπήλαιον
τῷ ἀπροσίτῳ προσάγει·
ἄγγελοι μετὰ ποιμένων
δοξολογοῦσι·
μάγοι δὲ μετὰ ἀστέρος
ὁδοιποροῦσι·
δι᾽ ἡμᾶς γὰρ ἐγεννήθη
παιδίον νέον, | ὁ πρὸ αἰώνων θεός.

ΙΔΙΟΜΕΛΑ ΑΔΕCΠΟΤΑ.

α′ Ἰδιόμελα εἰς τὴν μεγάλην Τρίτην (Τριῳδ. σελ. 353)

ἦχος α′.

Ἐν ταῖς λαμπρότησι τῶν ἁγίων σου
πῶς εἰσελεύσομαι ὁ ἀνάξιος;
ἐὰν γὰρ τολμήσω συνεισελθεῖν εἰς τὸν νυμφῶνα,
ὁ χιτών με ἐλέγχει, | ὅτι οὐκ ἔστι τοῦ γάμου,
καὶ δέσμιος ἐκβάλλομαι ὑπὸ τῶν ἀγγέλων·
καθάρισον, κύριε, τὸν ῥύπον τῆς ψυχῆς μου
καὶ σῶσόν με ὡς φιλάνθρωπος.

ἦχος β′.

Ὁ τῇ ψυχῆς ῥᾳθυμίᾳ νυστάξας
οὐ κέκτημαι, νυμφίε Χριστέ,
καιομένην λαμπάδα τὴν ἐξ ἀρετῶν,
καὶ νεάνισιν ὁμοιώθην μωραῖς,
ἐν καιρῷ τῆς ἐργασίας ῥεμβόμενος·
τὰ σπλάγχνα τῶν οἰκτιρμῶν σου
μὴ κλείσῃς μοι, δέσποτα·
ἀλλ᾽ ἐκτινάξας μου τὸν ζοφερὸν
ὕπνον ἐξανάστησον
καὶ ταῖς φρονίμοις συνεισάγαγε παρθένοις
εἰς νυμφῶνα τὸν σόν,
ὅπου ἦχος καθαρὸς ἑορταζόντων
καὶ βοώντων ἀπαύστως· κύριε, δόξα σοι.

β′ Ἰδιόμελον εἰς τὰς Ὥρας τῆς μεγάλης Παρασκευῆς (Τριῳδ. σελ. 393)

ἦχος πλ. β′.

Σήμερον κρέμαται ἐπὶ ξύλου
ὁ ἐν ὕδασι τὴν γῆν κρεμάσας·
στέφανον ἐξ ἀκανθῶν
περιτίθεται ὁ τῶν ἀγγέλων βασιλεύς·
ψευδῆ πορφύραν περιβάλλεται
ὁ περιβάλλων τὸν οὐρανὸν ἐν νεφέλαις·
ῥάπισμα κατεδέξατο
ὁ ἐν Ἰορδάνῃ ἐλευθερώσας τὸν [Ἀδάμ·
ἥλοις προσηλώθη
ὁ νυμφίος τῆς ἐκκλησίας·
λόγχῃ ἐκεντήθη | ὁ υἱὸς τῆς παρθένου·
προσκυνοῦμέν σου τὰ πάθη, Χριστέ,
δεῖξον ἡμῖν
καὶ τὴν ἔνδοξόν σου ἀνάστασιν.

ιη. Hoc contakion magni poematis partem fuisse testatur Pitra L'hymnogr. p. 47
α′ v. 5 ἐκβάλλομαι E: ἐκβαλοῦμαι Triod. — β′. Sophronio hoc idiomelon adsignat H — 5 πορφύρα U — 9 προσηλοῦται H

γʹ. Ἰδιόμελα τοῦ μεγάλου Σαββάτου
(Τριῳδ. σελ. 411)

ἦχος βʹ.

Σήμερον συνέχει τάφος
τὸν συνέχοντα παλάμῃ τὴν κτίσιν·
καλύπτει λίθος
τὸν καλύψαντα ἀρετῇ τοὺς οὐρανούς·
ὑπνοῖ ἡ Ζωὴ | καὶ Αἴδης τρέμει
καὶ Ἀδὰμ τῶν δεσμῶν ἀπολύεται·
δόξα τῇ σῇ οἰκονομίᾳ,
διʼ ἧς τελέσας πάντα σαββατισμὸν αἰώ-
ἐδωρήσω ἡμῖν ὡς θεός, [νιον
τὴν παναγίαν ἐκ νεκρῶν σου ἀνά-
στασιν.

ἦχος βʹ.

Τί τὸ δρώμενον θέαμα;
τίς ἡ παροῦσα κατάπαυσις;
ὁ βασιλεὺς τῶν αἰώνων,
τὴν διὰ πάθους τελέσας οἰκονομίαν,
ἐν τάφῳ σαββατίζει,
καινὸν ἡμῖν παρέχων σαββατισμόν·
αὐτῷ βοήσωμεν·
ἀνάστα ὁ θεὸς κρίνων τὴν γῆν,
ὅτι σὺ βασιλεύεις εἰς τοὺς αἰῶνας,
ὁ ἀμέτρητον ἔχων τὸ μέγα ἔλεος.

ἦχος βʹ.

Δεῦτε, ἴδωμεν | τὴν Ζωὴν τῶν ἁπάντων
ἐν τάφῳ κειμένην,
ἵνα τοὺς ἐν τάφῳ κειμένους ζωοποι-
δεῦτε σήμερον [ήσῃ·
τὸν ἐξ Ἰούδα ὑπνοῦντα θεώμενοι
προφητικῶς αὐτῷ ἐκβοήσωμεν·
ἀναπεσὼν κεκοίμησαι ὡς λέων·
τίς ἐγερεῖ σε, βασιλεῦ;
ἀλλʼ ἀνάστηθι, σωτήρ, αὐτεξουσίως
ὁ δοὺς ἑαυτὸν | ὑπὲρ ἡμῶν ἑκου-
σίως· κύριε, δόξα σοι.

ἦχος πλ. βʹ.

Ἠιτήσατο Ἰωσὴφ | τὸ σῶμα τοῦ Ἰησοῦ
καὶ ἀπέθετο ἐν τῷ καινῷ αὐτοῦ μνημείῳ·
ἔδει γὰρ αὐτὸν ἐκ τάφου | ὡς ἐκ παστάδος προελθεῖν·
ὁ συντρίψας κράτος θανάτου
καὶ ἀνοίξας πύλας παραδείσου ἀνθρώποις, δόξα σοι.

ἦχος πλ. βʹ.

Τὴν σήμερον μυστικῶς | ὁ μέγας Μωϋσῆς
προδιετυποῦτο λέγων·
καὶ εὐλόγησεν ὁ θεὸς | τὴν ἡμέραν τὴν ἑβδόμην·
τοῦτο γάρ ἐστιν | τὸ εὐλογημένον σάββατον·
αὕτη ἐστὶν | ἡ τῆς καταπαύσεως ἡμέρα,
ἐν ᾗ κατέπαυσεν ἀπὸ πάντων τῶν ἔργων αὐτοῦ
ὁ μονογενὴς υἱὸς τοῦ θεοῦ·
διὰ τῆς κατὰ τὸν θάνατον οἰκονομίας
τῇ σαρκὶ σαββατίσας
καὶ εἰς ὃ ἦν | πάλιν ἐπανελθών,
διὰ τῆς ἀναστάσεως
ἐδωρήσατο ἡμῖν | ζωὴν τὴν αἰώνιον,
ὡς μόνος ἀγαθὸς καὶ φιλάνθρωπος.

γʹ. v. 8 ὡς θεός om. Triod. — 11 πανήγυρις E — 20 τῶν ἁπάντων E: ἡμῶν Triod. — 21 τάφοις Triod. — 26 σωτήρ om. Triod. — 33 Μωσῆς E — 39 υἱὸς τοῦ πατρός E

δ′. Ἰδιόμελον εἰς τὴν κυριακὴν τῆς Τυρινῆς (Τριῴδ. σελ. 64)
ἦχος δ′.

Ἔλαμψεν ἡ χάρις σου, κύριε,
ἔλαμψεν ὁ φωτισμὸς τῶν ψυχῶν ἡμῶν·
ἰδοὺ καιρὸς εὐπρόσδεκτος, | ἰδοὺ καιρὸς μετανοίας·
ἀποθώμεθα τὰ ἔργα τοῦ σκότους
καὶ ἐνδυσώμεθα τὰ ὅπλα τοῦ φωτός,
ὅπως διαπλεύσαντες | τὸ τῆς νηστείας μέγα πέλαγος
εἰς τὴν τριήμερον ἀνάστασιν | καταντήσωμεν
τοῦ κυρίου καὶ σωτῆρος ἡμῶν
Ἰησοῦ Χρισσοῦ | τοῦ σώζοντος τὰς ψυχὰς ἡμῶν.

ε′. Ἰδιόμελον εἰς τὸ Πάσχα (Πεντηκ. σελ. 5)
ἦχος πλ. α′.

Ἀναστάσεως ἡμέρα·
καὶ λαμπρυνθῶμεν τῇ πανηγύρει
καὶ ἀλλήλους περιπτυξώμεθα·
εἴπωμεν, ἀδελφοί, καὶ τοῖς μισοῦσιν
ἡμᾶς· συγχωρήσωμεν
πάντα τῇ ἀναστάσει·
καὶ οὕτω βοήσωμεν·
Χριστὸς ἀνέστη ἐκ νεκρῶν,
θανάτῳ θάνατον πατήσας
καὶ τοῖς ἐν τοῖς μνήμασι
ζωὴν χαρισάμενος.

ϛ′. Θρῆνος εἰς τὴν μεγάλην Παρασκευήν.
ἦχος πλ. α′.

Σὲ τὸν ἀναβαλλόμενον | τὸ φῶς ὥσπερ ἱμάτιον
καθελὼν Ἰωσὴφ ἀπὸ τοῦ ξύλου | σὺν Νικοδήμῳ
καὶ θεωρήσας νεκρὸν, γυμνὸν, ἄταφον,
εὐσυμπάθητον θρῆνον ἀναλαβὼν | ὀδυρόμενος ἔλεγεν·
οἴμοι, γλυκύτατε Ἰησοῦ!
ὃν πρὸ μικροῦ ὁ ἥλιος | ἐν σταυρῷ κρεμάμενον θεασάμενος
ζόφον περιεβάλλετο·
καὶ ἡ γῆ τῷ φόβῳ ἐκυμαίνετο,
καὶ διερρήγνυτο ναοῦ τὸ καταπέτασμα·
ἀλλ᾽ ἰδοὺ νῦν βλέπω σε
δι᾽ ἐμὲ ἑκουσίως | ὑπελθόντα θάνατον·
πῶς σε κηδεύσω, θεέ μου; | ἢ πῶς σινδόσιν εἱλήσω;
ποίαις χερσὶ δὲ προσψαύσω | τὸ σὸν ἀκήρατον σῶμα;
ἢ ποῖα ᾄσματα μέλψω | τῇ σῇ ἐξόδῳ, οἰκτίρμον;
μεγαλύνω τὰ πάθη σου, | ὑμνολογῶ καὶ τὴν ταφήν σου
σὺν τῇ ἀναστάσει, κραυγάζων· | κύριε, δόξα σοι·

ϛ′. Brevioribus modulis carmen instruxit cod. E, prolixioribus cod. U; auctor naeniae in cod. U Θεοφάγνης (an Θεοφάνης?) audit.

ζʹ. Ἰδιόμελον τῆς μεγάλης Δευτέρας (Τριῳδ. σελ. 346)

ἦχος αʹ.

Ἐρχόμενος ὁ κύριος | πρὸς τὸ ἑκούσιον πάθος
τοῖς ἀποστόλοις ἔλεγεν ἐν τῇ ὁδῷ·
Ἰδού, ἀναβαίνομεν εἰς Ἱεροσόλυμα,
καὶ παραδοθήσεται | ὁ υἱὸς τοῦ ἀνθρώπου,
καθὼς γέγραπται περὶ αὐτοῦ·
δεῦτε οὖν καὶ ἡμεῖς | κεκαθαρμέναις διανοίαις
συμπορευθῶμεν αὐτῷ | καὶ συσταυρωθῶμεν
καὶ νεκρωθῶμεν δι᾽ αὐτὸν | ταῖς τοῦ βίου ἡδοναῖς,
ἵνα καὶ συζήσωμεν αὐτῷ
καὶ ἀκούσωμεν βοῶντος αὐτοῦ·
οὐκέτι εἰς τὴν ἐπίγειον Ἱερουσαλὴμ | διὰ τὸ παθεῖν,
ἀλλὰ ἀναβαίνω πρὸς τὸν πατέρα μου
καὶ πατέρα ὑμῶν | καὶ θεόν μου καὶ θεὸν ὑμῶν·
καὶ συνανυψῶ ὑμᾶς | εἰς τὴν ἄνω Ἱερουσαλὴμ
ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν.

ηʹ. Ἰδιόμελον τῆς μεγάλης Δευτέρας (Τριῳδ. σελ. 344)

ἦχος πλ. δʹ.

Ἰδού, ὁ νυμφίος ἔρχεται | ἐν τῷ μέσῳ τῆς νυκτός·
καὶ μακάριος ὁ δοῦλος, | ὃν εὑρήσει γρηγοροῦντα,
ἀνάξιος δὲ πάλιν, | ὃν εὑρήσει ῥαθυμοῦντα·
βλέπε οὖν, ψυχή μου, | μὴ τῷ ὕπνῳ κατενεχθῇς,
ἵνα μὴ τῷ θανάτῳ παραδοθῇς | καὶ τῆς βασιλείας ἔξω κλεισθῇς·
ἀλλὰ ἀνάνηψον κράζουσα·
ἅγιος, ἅγιος, ἅγιος εἶ ὁ θεὸς ἡμῶν,
διὰ τῆς θεοτόκου ἐλέησον ἡμᾶς.

θʹ. Ἰδιόμελον τῆς μεγάλης Πέμπτης (Τριῳδ. σελ. 364)

ἦχος πλ. δʹ.

Ὅτε οἱ ἔνδοξοι μαθηταὶ
ἐν τῷ νιπτῆρι τοῦ δείπνου ἐφωτίζοντο,
τότε Ἰούδας ὁ δυσσεβὴς
φιλαργυρίαν νοσήσας ἐσκοτίζετο,
καὶ ἀνόμοις κριταῖς
σὲ τὸν δίκαιον κριτὴν παραδίδωσι·
βλέπε, χρημάτων ἐραστά,
τὸν διὰ ταῦτα ἀγχόνῃ χρησάμενον·
φεῦγε ἀκόρεστον ψυχὴν
τὴν διδασκάλῳ τοιαῦτα τολμήσασαν·
ὁ περὶ πάντας ἀγαθός, | κύριε, δόξα σοι.

ζʹ v. 3 ἀναβαίνωμεν E — 3 Matth. XX 18. Luc. XVIII 31—33. — 13 καὶ πατέρα ὑμῶν om. E — ηʹ v. 7 θεὸς ἡμῶν Pandecte: θεός Triod.

ι'. Στιχηρὰ ἰδιόμελα τοῦ Πάσχα (Πεντηκ. σελ. 5)
ἦχος πλ. α'.

Πάσχα ἱερὸν ἡμῖν σήμερον ἀναδέ-
δεικται,
πάσχα καινὸν ἅγιον, | πάσχα μυστικόν,
πάσχα πανσεβάσμιον,
πάσχα, Χριστὸς ὁ λυτρωτής,
πάσχα ἄμωμον,
πάσχα μέγα, πάσχα τῶν πιστῶν·
πάσχα τὸ πύλας ἡμῖν
τοῦ παραδείσου ἀνοῖξαν,
πάσχα πάντας ἁγιάζον πιστούς.

Δεῦτε ἀπὸ θέας γυναῖκες εὐαγγελίστριαι
καὶ τῇ Σιὼν εἴπατε· | δέχου παρ' ἡμῶν
χαρᾶς εὐαγγέλια
τῆς ἀναστάσεως Χριστοῦ,
τέρπου, χόρευε
καὶ ἀγάλλου, Ἱερουσαλήμ,
τὸν βασιλέα Χριστὸν
θεασαμένη ἐκ τοῦ μνήματος
ὡς νυμφίον προερχόμενον.

Αἱ μυροφόροι γυναῖκες | ὄρθρου βαθέος
ἐπιστᾶσαι πρὸς τὸ μνῆμα
τοῦ ζωοδότου
εὗρον ἄγγελον
ἐπὶ τοῦ λίθου καθήμενον,
καὶ αὐτὸς προσφθεγξάμενος
αὐταῖς οὕτως ἔλεγε·
τί ζητεῖτε τὸν ζῶντα μετὰ τῶν νεκρῶν;
τί θρηνεῖτε τὸν ἄφθαρτον ὡς ἐν
φθορᾷ;
ἀπελθοῦσαι κηρύξατε τοῖς ἑαυτοῦ μαθη-
[ταῖς.

Πάσχα τὸ τερπνόν, πάσχα κυρίου, πάσχα,
πάσχα πανσεβάσμιον | ἡμῖν ἀνέτειλε,
πάσχα, ἐν χαρᾷ ἀλλήλους περιπτυξώ-
ὢ πάσχα λύτρον λύπης· [μεθα·
καὶ γὰρ ἐκ τάφου σήμερον,
ὥσπερ ἐκ παστοῦ, ἐκλάμψας Χριστὸς
τὰ γύναια χαρᾶς ἔπλησε λέγων·
κηρύξατε ἀποστόλοις.

ια'. Εὐλογητάρια ἀναστάσιμα ψαλλόμενα τῷ μεγάλῳ Σαββάτῳ. (Τριῳδ. σελ. 407)
ἦχος πλ. α'.
Εὐλογητὸς εἶ, κύριε, δίδαξόν με τὰ δικαιώματά σου.

Τῶν ἀγγέλων ὁ δῆμος
κατεπλάγη, ὁρῶν σε
ἐν νεκροῖς λογισθέντα,
τοῦ θανάτου δέ, σωτήρ,
τὴν ἰσχὺν καθελόντα
καὶ σὺν ἑαυτῷ | τὸν Ἀδὰμ ἐγείραντα
καὶ ἐξ ᾅδου πάντας ἐλευθερώσαντα.

Εὐλογητὸς εἶ κ.

Τί τὰ μῦρα | συμπαθῶς τοῖς δάκρυσιν,
ὦ μαθήτριαι, κιρνᾶτε;
ὁ ἀστράπτων ἐν τῷ τάφῳ ἄγγελος
προσεφθέγγετο ταῖς μυροφόροις·
ἴδετε ὑμεῖς τὸν τάφον καὶ ἥσθητε·
ὁ σωτὴρ γὰρ ἐξανέστη τοῦ μνή-
ματος.

Εὐλογητὸς εἶ κ.

Λίαν πρωῒ | μυροφόροι ἔδραμον
πρὸς τὸ μνῆμά σου θρηνολογοῦσαι·
ἀλλ' ἐπέστη πρὸς αὐτὰς ὁ ἄγγελος
καὶ εἶπε·
θρήνου ὁ καιρὸς πέπαυται· μὴ κλαίετε·
τὴν ἀνάστασιν δὲ ἀποστόλοις εἴπατε.

Εὐλογητὸς εἶ κ.

Μυροφόροι γυναῖκες
μετὰ μύρων ἐλθοῦσαι
πρὸς τὸ μνῆμά σου, σῶτερ, ἐνη-
ἀγγέλου τρανῶς [χοῦντο,
πρὸς αὐτὰς φθεγγομένου·
τί μετὰ νεκρῶν τὸν ζῶντα λογίζεσθε;
ὡς θεὸς γὰρ ἐξανέστη τοῦ μνήματος.

Τριαδικόν.

Προσκυνοῦμεν πατέρα
καὶ τὸν τούτου υἱόν τε
καὶ τὸ ἅγιον πνεῦμα,
τὴν ἁγίαν τριάδα | ἐν μιᾷ τῇ οὐσίᾳ
cὺν τοῖc Cεραφὶμ,
κράζοντεc τὸ ἅγιοc, ἅγιοc,
ἅγιοc εἶ, κύριε.

Θεοτοκίον.

Ζωοδότην τεκοῦcα
ἐλυτρώcω, παρθένε,
τὸν Ἀδὰμ ἁμαρτίαc,
χαρμονὴν δὲ τῇ Εὔᾳ
ἀντὶ λύπηc παρέcχεc·
ῥεύcαντα ζωῆc | ἴθυνε πρὸc ταύτην δὲ
ὁ ἐκ coῦ cαρκωθεὶc θεὸc καὶ ἄνθρωποc.

CΩΦΡΟΝΙΟΥ

α΄. Ἰδιόμελα τῶν Θεοφανείων (Ἰαν. 6)

ἦχοc πλ. δ΄.

Φωνὴ κυρίου ἐπὶ τῶν ὑδάτων | βοᾷ λέγουcα·
δεῦτε λάβετε πάντεc | πνεῦμα cοφίαc,
πνεῦμα cυνέcεωc, | πνεῦμα φόβου θεοῦ
τοῦ ἐπιφανέντοc Χριcτοῦ.

Cήμερον τῶν ὑδάτων ἁγιάζεται | ἡ φύcιc,
καὶ ῥήγνυται ὁ Ἰορδάνηc | καὶ τῶν ἰδίων ναμάτων
ἐπέχει τὸ ῥεῦμα, | δεcπότην ὁρῶν ῥυπτόμενον.

Ὡc ἄνθρωποc ἐν ποταμῷ | ἦλθεc, Χριcτὲ βαcιλεῦ·
καὶ δουλικὸν βάπτιcμα | λαβεῖν cπεύδειc, ἀγαθὲ,
ὑπὸ τῶν τοῦ προδρόμου χειρῶν
διὰ τὰc ἁμαρτίαc ἡμῶν, φιλάνθρωπε.

Πρὸc τὴν φωνὴν τοῦ βοῶντοc ἐν τῇ ἐρήμῳ
«ἑτοιμάcατε τὴν ὁδὸν τοῦ κυρίου»
ἦλθεc, κύριε, | μορφὴν δούλου λαβὼν,
βάπτιcμα αἰτῶν | ὁ μὴ γνοὺc ἁμαρτίαν·
εἴδοcάν cε ὕδατα | καὶ ἐφοβήθηcαν·
cύντρομοc γέγονεν ὁ πρόδρομοc
καὶ ἐβόηcε λέγων·
πῶc φωτίcει ὁ λύχνοc τὸ φῶc;
πῶc χειροθετήcει ὁ δοῦλοc τὸν δεcπότην;
ἁγίαcον ἐμὲ | καὶ τὰ ὕδατα, cωτὴρ,
ὁ αἴρων τοῦ κόcμου τὴν ἁμαρτίαν.

β΄. Ἰδιόμελα εἰc τὰc Ὥραc τῶν Χριcτουγέννων (Δεκ. 25)

ἦχοc πλ. δ΄.

Βηθλεὲμ ἑτοιμάζου· | εὐτρεπιζέcθω ἡ φάτνη·
τὸ cπήλαιον δεχέcθω· | ἡ ἀλήθεια ἦλθεν·

ια΄ v. 31 corruptus esse videtur et sententiam et numeros si spectes.
Sophronii carm. α΄ vv. 1—4 om. E — 13 Matth. III 3 — β΄ 1—7 primam certe stropham ab Sophronio compositam esse ed. Triod. testari videtur; auctoris nomen deest in E

ἡ cκιὰ παρέδραμε· | καὶ θεὸc ἐν ἀνθρώποιc
ἐκ παρθένου πεφανέρωται, | μορφωθεὶc τὸ καθ᾽ ἡμᾶc
καὶ θεώcαc τὸ πρόcλημμα·
διὸ | Ἀδὰμ ἀνανεοῦται | cὺν τῇ Εὔᾳ κράζοντεc·
ἐπὶ γῆc εὐδοκία ἐπεφάνη | cῶcαι τὸ γένοc ἡμῶν.

ἦχοc γ΄.

Νῦν προφητικὴ πρόρρηcιc | πληρωθῆναι ἐπείγεται
μυcτικῶc ἡ φάcκουcα·
καὶ cύ, Βηθλεὲμ γῆ Ἰούδα,
οὐδαμῶc ὑπάρχειc ἐλαχίcτη ἐν τοῖc ἡγεμόcι,
προευτρεπίζουcα τὸ cπήλαιον·
ἐκ coῦ γάρ μοι ἐξελεύcεται
ἡγούμενοc τῶν ἐθνῶν διὰ cαρκὸc
ἐκ παρθένου κόρηc Χριcτὸc ὁ θεόc,
ὃc ποιμανεῖ τὸν λαὸν αὐτοῦ, | τὸν νέον Ἰcραήλ·
δῶμεν αὐτῷ ἅπαντεc μεγαλοcύνην·

ἦχοc πλ. δ΄.

Τάδε λέγει Ἰωcὴφ πρὸc τὴν παρθένον·
Μαρία, τί τὸ δρᾶμα τοῦτο, | ὃ ἐν coὶ τεθέαμαι;
ἀπορῶ καὶ ἐξίcταμαι | καὶ τὸν νοῦν καταπλήττομαι!
λάθρα τοίνυν ἀπ᾽ ἐμοῦ | γενοῦ ἐν τάχει·
Μαρία, τί τὸ δρᾶμα τοῦτο, | ὃ ἐν coὶ τεθέαμαι;
ἀντὶ τιμῆc αἰcχύνην, | ἀντ᾽ εὐφροcύνηc τὴν λύπην,
ἀντὶ τοῦ ἐπαινεῖcθαι | τὸν ψόγον μοι προcήγαγεc·
οὐκ ἔτι φέρω λοιπὸν | τὸ ὄνειδοc ἀνθρώπων·
ὑπὸ γὰρ ἱερέων ἐκ τοῦ ναοῦ | ὡc ἄμεμπτον κυρίου cε παρέλαβον,
καὶ τί τὸ δρώμενον;

ΑΝΔΡΕΟΥ ΙΕΡΟCΟΛΥΜΙΤΟΥ

Ἰδιόμελα εἰc τὴν Χριcτοῦ γέννηcιν (Δεκ. 25)

ἦχοc δ΄.

Εὐφραίνεcθε δίκαιοι, | οὐρανοὶ ἀγαλλιᾶcθε,
cκιρτήcατε τὰ ὄρη | Χριcτοῦ γεννηθέντοc·
παρθένοc καθέζεται | τὰ Χερουβὶν μιμουμένη,
βαcτάζουcα ἐν κόλποιc | θεὸν λόγον cαρκωθέντα·
ποιμένεc τὸν τεχθέντα δοξάζουcι,
μάγοι τῷ δεcπότῃ δῶρα προcφέρουcιν·
ἄγγελοι ἀνυμνοῦντεc λέγουcιν·
ἀκατάληπτε κύριε, δόξα coι.

3 ἐν om. E — 6 κράζουcα EH — 10 Mich. V 2 — 17 ἅπαντεc in marg. add. E
Andreae carm. v. 5 θαυμάζουcι E — 8–11 hanc stropham extremo loco collocat E

Ὁ πατὴρ ηὐδόκησεν, | ὁ λόγος σὰρξ ἐγένετο,
καὶ ἡ παρθένος ἔτεκεν | θεὸν ἐνανθρωπήσαντα·
ἀστὴρ μηνύει, | μάγοι προσκυνοῦσιν,
ποιμένες θαυμάζουσι, | καὶ ἡ κτίσις ἀγάλλεται.

Θεοτόκε παρθένε, | ἡ τεκοῦσα τὸν σωτῆρα,
ἀνέτρεψας τὴν πρώτην κατάραν τῆς Εὔας;
ὅτι μήτηρ γέγονας | τῆς εὐδοκίας τοῦ πατρός,
βαστάζουσα ἐν κόλποις | θεὸν λόγον σαρκωθέντα·
οὐ φέρει τὸ μυστήριον ἔρευναν,
πίστει μόνῃ τοῦτο πάντες δοξάζομεν,
κράζοντες μετὰ σοῦ καὶ λέγοντες·
ἀνερμήνευτε κύριε, δόξα σοι·

Δεῦτε ἀνυμνήσωμεν | τὴν μητέρα τοῦ σωτῆρος
τὴν μετὰ τόκον πάλιν | ὀφθεῖσαν παρθένον·
χαίροις, πόλις ἔμψυχε | τοῦ βασιλέως καὶ θεοῦ,
ἐν ᾗ Χριστὸς οἰκήσας | σωτηρίαν εἰργάσατο·
μετὰ τοῦ Γαβριὴλ ἀνυμνοῦμέν σε,
μετὰ τῶν ποιμένων δοξάζομεν | κράζοντες·
θεοτόκε, πρέσβευε | τῷ ἐκ σοῦ σαρκωθέντι
σωθῆναι ἡμᾶς.

ΓΕΡΜΑΝΟΥ

α'. Ἰδιόμελον εἰς τὴν Χριστοῦ γέννησιν (Δεκ. 25)

ἦχος πλ. β'.

Ὅτε καιρὸν | τῆς ἐπὶ γῆς παρουσίας σου
πρώτη ἀπογραφὴ τῇ οἰκουμένῃ ἐγένετο,
τότε ἔμελλες τῶν ἀνθρώπων
ἀπογράψασθαι τὰ ὀνόματα
τῶν πιστευόντων τῷ τόκῳ σου·
διὰ τοῦτο τὸ τοιοῦτον δόγμα
ὑπὸ Καίσαρος ἐξεφωνήθη·
τῆς γὰρ αἰωνίου σου βασιλείας
τὸ ἄναρχον ἐκαινουργήθη·
διό σοι προσφέρομεν καὶ ἡμεῖς
ὑπὲρ τὴν χρηματικὴν φορολογίαν
ὀρθοδόξου πλουτισμὸν θεολογίας
τῷ θεῷ καὶ σωτῆρι τῶν ψυχῶν ἡμῶν.

β'. Ἰδιόμελον εἰς Χριστοῦ γέννησιν (Δεκ. 25)

ἦχος β'.

Δεῦτε ἀγαλλιασώμεθα τῷ κυρίῳ,
τὸ παρὸν μυστήριον ἐκδιηγούμενοι·
τὸ μεσότοιχον τοῦ φραγμοῦ διαλέλυται,
ἡ φλογίνη ῥομφαία τὰ νῶτα δίδωσι,
καὶ τὰ Χερουβὶμ παραχωρεῖ
τοῦ ξύλου τῆς ζωῆς·
κἀγὼ | τοῦ παραδείσου τῆς τρυφῆς μεταλαμβάνω,

---

15 τῇ εὐδοκίᾳ Dan. — 26 δοξάσωμεν E
Germani carm. α'. nomen melodi deest in cod. E — 3 ἀπογράφεσθαι Barth. — 8 τεκούσης σου ἐκ. E — 11 πλουτισμοῦ θεολογίαν E — β'. nomen melodi deest in cod. E

οὐ προεξεβλήθην διὰ τῆς παρακοῆς·
ἡ γὰρ ἀπαράλλακτος εἰκὼν τοῦ πατρός,
ὁ χαρακτὴρ τῆς ἀϊδιότητος αὐτοῦ,
μορφὴν δούλου λαμβάνει,
ἐξ ἀπειρογάμου μητρὸς προελθών,
οὐ τροπὴν ὑπομείνας·
ὃ γὰρ ἦν διέμεινε, | θεὸς ὢν ἀληθινός·
καὶ ὃ οὐκ ἦν προσέλαβεν,
ἄνθρωπος γενόμενος διὰ φιλανθρωπίαν·
αὐτῷ βοήσωμεν·
ὁ τεχθεὶς ἐκ παρθένου θεὸς
ἐλέησον ἡμᾶς.

γ'. Ἰδιόμελον εἰς τὸν ἅγιον Δημήτριον (Ὀκτ. 26)
ἦχος β'.

Εἰς τὰ ὑπερκόσμια σκηνώματα
τὸ πνεῦμά σου, Δημήτριε, μάρτυς Χριστοῦ,
Χριστὸς ὁ θεὸς | προσήκατο ἀμώμητον·
σὺ γὰρ | τῆς τριάδος γέγονας ὑπέρμαχος,
ἐν τῷ σταδίῳ ἀνδρείως ἐναθλήσας,
ὡς ἀδάμας στερρός·
λογχευθεὶς δὲ τὴν πλευρὰν
τὴν ἀκήρατόν σου, πανσεβάσμιε,
μιμούμενος τὸν ἐπὶ ξύλου τανυσθέντα,
εἰς σωτηρίαν παντὸς τοῦ κόσμου
τῶν θαυμάτων εἴληφας τὴν ἐνέργειαν,
ἀνθρώποις παρέχων τὰς ἰάσεις ἀφθόνως·
διό σου σήμερον τὴν κοίμησιν ἑορτάζοντες
ἐπαξίως δοξάζομεν
τὸν σὲ δοξάσαντα κύριον.

ΜΕΘΟΔΙΟΥ

Ἰδιόμελον εἰς Κωνσταντῖνον καὶ Ἑλένην (Μαΐ. 21)
ἦχος πλ. δ'.

Ὁ τῶν ἀνάκτων ἄναξ καὶ θεός,
ὁ πλουσίαις δωρεαῖς | κατακοσμῶν τοὺς ἀξίους,
αὐτὸς οὐρανόθεν, | ὥσπερ Παῦλον τὸν ἀοίδιμον,
διὰ σημείου τοῦ σταυροῦ | σέ, Κωνσταντῖνε, ἐζώγρησεν,
ἐν τούτῳ, φήσας, νίκα τοὺς ἐχθρούς σου·
ὃν ἀναζητήσας | σὺν μητρὶ θεόφρονι
καὶ εὑρών, ὡς ἐπόθεις,
τούτους κατὰ κράτος ἐτροπώσω·
σὺν αὐτῇ οὖν ἱκέτευε | ὑπὲρ ὀρθοδόξων βασιλέων
καὶ τοῦ φιλοχρίστου στρατοῦ
καὶ πάντων τῶν τὴν μνήμην σου τελούντων πιστῶς,
τὸν μόνον φιλάνθρωπον | λυτρωθῆναι πάσης ὀργῆς.

ΦΩΤΙΟΥ ΤΟΥ ΠΑΤΡΙΑΡΧΟΥ

α'. Ἰδιόμελον εἰς Μεθόδιον (Ἰουν. 14)
ἦχος πλ. β'.

Ἀστὴρ ἀνέτειλεν εὐσεβείας
ἀπὸ δυσμῶν ἡλίου τοῦ φαινομένου

γ'. Γερμανοῦ τοῦ πατριάρχου in marg. E — 2 μάρτυς σοφὲ Barth. — 5 καὶ ἐν σταδίῳ E — 9 τανυθέντα E — 13 ἑορτάζομεν ἐπαξίως δοξάζοντες E
Methodii nomen om. E — Photii nomen om. E

ὁ μέγας ἐν ἱεράρχαις Μεθόδιος·
καὶ τὴν ἀχλὺν διατμήξας τῶν κακοδόξων
κατέπαυσεν εἰς τὴν ὄντως ἀνατολὴν
τοῦ τῆς δικαιοσύνης ἡλίου,
Χριστοῦ τοῦ θεοῦ ἡμῶν·
κἀκεῖσε ταῖς ἀσωμάτοις | συναυλιζόμενος χορείαις
καὶ πρὸς τῷ θρόνῳ παρεστὼς τῆς τριάδος,
ὡς ὅσιος, | ὡς μάρτυς, | ὡς ἱερεύς, | ὡς πατριάρχης
πράξει καὶ θεωρίᾳ | ἡμῖν αἰτεῖται, τοῖς ἐν πίστει τελοῦσι
τὴν ἱερὰν αὐτοῦ μνήμην, | τὸ μέγα ἔλεος.

β'. Ἰδιόμελον εἰς Μεθόδιον (Ἰουν. 14)
ἦχος δ'.

Εὐφροσύνως σήμερον | ἡ ἐκκλησία τοῦ θεοῦ στολίζεται,
ἀγαλλομένη κράζουσα·
ἐλαμπρύνθη μου τὸ κάλλος | ὑπὲρ πᾶσαν πόλιν·
ἰδοὺ γὰρ τῶν ἀρχιερέων τὸ μέγα κειμήλιον,
ὁ ἔνδοξος Μεθόδιος, | τὴν πορείαν πρὸς οὐρανὸν ἐποιήσατο·
δεῦτε οὖν φιλέορτοι, | τῶν ὀρθοδόξων τὸ σύστημα,
χοροστατήσαντες περὶ τὴν θείαν λάρνακα,
ἰαμάτων πλημμύραν λαβόντες παρ' αὐτῆς,
ἱκετεύσωμεν αἰτήσασθαι Χριστὸν τὸν θεὸν
τοῦ ῥυσθῆναι τὴν οἰκουμένην | ἀπὸ πάσης αἱρέσεως.

ΒΥΖΑΝΤΙΟΥ

α'. Ἰδιόμελον εἰς Κωνσταντῖνον καὶ Ἑλένην (Μαϊ. 21)
ἦχος β'.

Πλουσίων δωρεῶν τὰ κρείττονα
εἰληφὼς παρὰ θεοῦ, | ἄναξ κράτιστε,
Κωνσταντῖνε μέγιστε, | καλῶς ἐν τούτοις διέπρεψας·
καταυγασθεὶς γὰρ | ἀκτῖσι τοῦ παναγίου πνεύματος,
ὑπὸ Σιλβέστρου ἱερέως | διὰ τοῦ βαπτίσματος
ἐν βασιλεῦσιν ὤφθης ἀήττητος,
τὴν οἰκουμένην ὡς προῖκα | προικοδοτήσας τῷ κτίστῃ σου
καὶ πόλιν βασιλεύουσαν θεοσεβῆ·
διὸ ἱκετεύων μὴ παύσῃ Χριστῷ τῷ θεῷ
δωρηθῆναι ἅπασι | τοῖς τελοῦσι τὴν μνήμην σου,
ὡς παρρησίαν ἔχων, | ἁμαρτιῶν συγχώρησιν
καὶ τὸ μέγα ἔλεος.

β'. nomen auctoris om. E — 2 καὶ κράζουσα Barth. — 7 ἅμα τῇ θείᾳ λάρνακι E — 9 ἱκετεύσωμεν om. E — αἰτήσασθε E
Byzantii carm. α' v. 8 θεοστεφῆ G — 9 Χριστὸν τὸν θεόν F

β'. Ἰδιόμελον εἰς μνήμην Βασιλείου τοῦ μεγάλου (Ἰαν. 1)

ἦχος β'.

Ὦ θεία καὶ ἱερὰ τῆς Χριστοῦ ἐκκλησίας μέλισσα,
Βασίλειε παμμακάριστε·
σὺ γὰρ τοῦ θείου πόθου τῷ κέντρῳ
σαυτὸν καθοπλίσας
τῶν θεοστυγῶν αἱρέσεων | τὰς βλασφημίας κατέτρωσας,
καὶ ταῖς ψυχαῖς τῶν πιστῶν
εὐσεβείας τὸν γλυκασμὸν ἐθησαύρισας·
καὶ νῦν τὸν θεῖον λειμῶνα
τῆς ἀκηράτου διερχόμενος νομῆς
μνημόνευε καὶ ἡμῶν, | παρεστὼς τὴν τριάδα τὴν ὁμοούσιον.

γ'. Ἰδιόμελον εἰς τὴν Μεταμόρφωσιν τοῦ Χριστοῦ (Αὐγ. 6)

ἦχος πλ. δ'.

Παρέλαβεν ὁ Χριστὸς
τὸν Πέτρον καὶ Ἰάκωβον καὶ Ἰωάννην
εἰς ὄρος ὑψηλὸν κατ' ἰδίαν
καὶ μετεμορφώθη ἔμπροσθεν αὐτῶν·
καὶ ἔλαμψε τὸ πρόσωπον αὐτοῦ ὡς ὁ ἥλιος,
τὰ δὲ ἱμάτια αὐτοῦ
ἐγένετο λευκὰ ὡς τὸ φῶς·
καὶ ὤφθησαν Μωϋσῆς καὶ Ἠλίας
μετ' αὐτοῦ συλλαλοῦντες·
καὶ νεφέλη φωτεινὴ | ἐπεσκίασεν αὐτούς·
καὶ ἰδοὺ φωνὴ ἐκ τῆς νεφέλης λέγουσα·
οὗτός ἐστιν ὁ υἱός μου ὁ ἀγαπητός,
ἐν ᾧ ηὐδόκησα, | αὐτοῦ ἀκούετε.

ΘΕΟΔΩΡΟΥ

α'. Ἰδιόμελον εἰς τὸν μεγαλομάρτυρα Ἀρτέμιον (Ὀκτ. 20)

ἦχος β'.

Τὸν νοερὸν φωστῆρα τῆς πίστεως
Ἀρτέμιον τιμήσωμεν,
ὅτι ἤλεγξε βασιλέα τὸν ἔχθιστον,
καὶ τῷ αἵματι τοῦ μαρτυρίου αὐτοῦ
τὴν ἐκκλησίαν θεὸς ἐπορφύρωσεν·
ὅθεν καὶ ἀπέλαβε
τῶν ἰαμάτων τὴν χάριν τὴν ἄφθονον
τοῦ ἰᾶσθαι τὰς νόσους
τῶν πιστῶς προστρεχόντων
ἐν τῇ σορῷ τῶν λειψάνων αὐτοῦ.

β'. Ἰδιόμελον εἰς Μιχαὴλ καὶ Γαβριήλ (Νοεμ. 8)

ἦχος β'.

Τῆς ἀΰλου οὐσίας
τῶν νοερῶν δυνάμεων προστατεύοντες,
καὶ τῆς τρισηλίου δόξης ταῖς μαρμαρυγαῖς
φωτοδοτοῦντες τὴν οἰκουμένην,
ἀρχιστράτηγοι, ἀλήκτῳ φωνῇ
τὸν τρισάγιον ὕμνον ἐξᾴδετε·
διὸ πρεσβεύσατε
σωθῆναι τὰς ψυχὰς ἡμῶν.

β' v. 5 φλασμίας E — 7 εὐσεβεία τὸν λογισμόν E — 8 τοὺς θείους λειμῶνας Barth. — γ'. Carmen, quale Menaea et codd. EFU secuti exhibemus, ἀναποδισμὸς in cod. U audit, unde concludas aliter ab aliis sententias carminis dispositas fuisse; melodia cod. E longe brevior est quam cod. U

Theodori carm. α' v. 9 λειψάνων σου E, quo probato supra ἀνέλαβες scribere debebis. — β'. τὴν ἄϋλον οὐσίαν E

γ΄. Ἰδιόμελον εἰς Ἰωάννην τὸν Χρυσόστομον (Νοεμ. 13)

ἦχος β΄.

Cὲ τὸν μέγαν ἀρχιερέα | καὶ ποιμένα,
τὸν ἄκακον καὶ ὅσιον,
τῆς μετανοίας τὸν κήρυκα,
τὸ χρυσίπνοον στόμα τῆς χάριτος,
ἀνευφημοῦντες πόθῳ δεόμεθα·
μετάδος ἡμῖν
τῶν πρεσβειῶν σου, πάτερ,
εἰς ἀντίληψιν τῶν ψυχῶν ἡμῶν.

δ΄. Ἰδιόμελον εἰς Γεώργιον (Ἀπριλ. 23)

ἦχος δ΄.

Τὸν νοερὸν ἀδάμαντα
τῆς καρτερίας, ἀδελφοί,
πνευματικῶς εὐφημήσωμεν,
Γεώργιον τὸν ἀοίδιμον μάρτυρα·
ὃν ὑπὲρ Χριστοῦ πυρούμενον
ἐχάλκευσαν κίνδυνοι,
καὶ ἐστόμωσαν βάσανοι,
καὶ ποικίλαι κολάσεις ἀνήλωσαν
σῶμα τὸ φύσει φθειρόμενον·
ἐνίκα γὰρ ὁ πόθος τὴν φύσιν,
διὰ θανάτου πείθων τὸν ἐραστὴν
διαβῆναι πρὸς τὸν ποθούμενον
Χριστὸν τὸν θεὸν
καὶ σωτῆρα τῶν ψυχῶν ἡμῶν.

ΕΦΡΑΙΜ ΚΑΡΙΑΣ

α΄. Ἰδιόμελον εἰς Μιχαὴλ καὶ Γαβριήλ (Νοεμ. 8)

ἦχος δ΄.

Τῆς ἡλιακῆς ἀκτῖνος τοῦ θείου φωτὸς
καταλαμπόμενοι ἀρχιστράτηγοι
τὰς τῶν ἀΰλων καταυγάζετε ταξιαρχίας·
ὡς φῶς λευχειμονοῦντες ἐν ὑψίστοις
τὸ πῦρ καταυγάζετε ἐν κόσμῳ
τῆς ἀπροσίτου θεότητος·
ὅθεν καὶ τὸν τρισάγιον ὕμνον
ἐν φλογεροῖς τοῖς χείλεσιν
ἀκαταπαύστως ᾄδετε·
ἅγιος, ἅγιος, ἅγιος εἶ
ὁ θεὸς ἡμῶν, δόξα σοι.

β΄. Ἰδιόμελον εἰς τοὺς ἀποστόλους Πέτρον καὶ Παῦλον (Ἰουν. 29)

ἦχος πλ. β΄.

Ἑορτὴ χαρμόσυνος | ἐπέφανε τοῖς πέρασι σήμερον,
ἡ πάνσεπτος μνήμη | τῶν σοφωτάτων ἀποστόλων
καὶ κορυφαίων Πέτρου καὶ Παύλου·
διὸ | καὶ Ῥώμη συγχαίρει χορεύουσα·
ἐν ᾠδαῖς καὶ ὕμνοις | ἑορτάσωμεν καὶ ἡμεῖς, ἀδελφοί,
τὴν πανσεβάσμιον ταύτην ἡμέραν,
βοῶντες πρὸς αὐτούς.
χαῖρε, | Πέτρε ἀπόστολε, | καὶ γνήσιε φίλε
τοῦ σοῦ διδασκάλου | Χριστοῦ τοῦ θεοῦ ἡμῶν·

γ΄. v. 7 ἀντάμειψιν Barth. et var. lect. cod. E — δ΄. ἦχ. δ΄ E: ἦχ. πλ. δ΄ U, melodia cod. E prorsus alia est ac cod. U — v. 2 Γεώργιον τόν EF: Γεώργιον ὑμνήσωμεν τόν U — 6 ἀνήλωσαν E: ἀνάλωσαν FU

Ephraimi α΄. nomen auctoris om. E — β΄. nomen melodi om. E — 1 ἐπέλαμψε Barth. — 6 πανσέβαστον E — ἡμέραν ἐκτελέσαντες χαῖρε E

χαῖρε, | Παῦλε παμφίλτατε, | καὶ κῆρυξ τῆc πίcτεωc
καὶ διδάcκαλε τῆc οἰκουμένηc·
ὡc ἔχον παρρηcίαν, ζεῦγοc ἁγιόλεκτον,
Χριcτὸν τὸν θεὸν ἡμῶν | ἱκετεύcατε
cωθῆναι τὰc ψυχὰc ἡμῶν.

γ΄. Ἰδιόμελον εἰc τὸν μάρτυρα Εὐcτάθιον (Cεπτ. 20)
ἦχοc πλ. β΄.

Ἀδαμάντινε τὴν ψυχήν,
πῶc cε κατ' ἀξίαν ἐπαινέcωμεν;
τὴν γὰρ φύcιν ὑπερέβηc·
χρημάτων καὶ παίδων | καὶ τῆc cυμβίου cτερούμενοc
τὴν μακαρίαν ἐκείνην | καὶ ἀοίδιμον
φωνὴν τοῦ Ἰὼβ ἐξεβόηcαc·
ὁ κύριοc ἔδωκεν, | ὁ κύριοc ἀφείλετο·
ὡc τῷ κυρίῳ ἔδοξεν, | οὕτω καὶ ἐγένετο·
ἀλλ' ὃν ἠγάπηcαc θεὸν | καὶ ὃν θερμῶc ἐπεπόθηcαc
πάλιν cοι τοὺc φιλτάτουc ἐδωρήcατο
cυναθλητὰc γενέcθαι cοι προμηθευcάμενοc·
μεθ' ὧν διὰ ποικίλων βαcάνων
τὸ μακάριον τέλοc διήνυcαc·
αὐτοὺc καὶ cυμπρεcβευτάc cου λαβόμενοc,
καρτερόψυχε Εὐcτάθιε,
δυcώπηcον λυτρωθῆναι ἡμᾶc
τῶν ἀνομιῶν ἡμῶν.

ΚΑCCΙΑC

α΄. Ἰδιόμελον εἰc τὴν Χριcτοῦ γέννηcιν (Δεκ. 25)
ἦχοc β΄.

Αὐγούcτου μοναρχήcαντοc ἐπὶ τῆc γῆc
ἡ πολυαρχία τῶν ἀνθρώπων ἐπαύcατο·
καὶ cοῦ ἐνανθρωπήcαντοc ἐκ τῆc ἁγνῆc
ἡ πολυθεΐα τῶν εἰδώλων κατήργηται·
ὑπὸ μίαν βαcιλείαν ἐγκόcμιον
αἱ πόλειc γεγένηνται·
καὶ εἰc μίαν δεcποτείαν θεότητοc
τὰ ἔθνη ἐπίcτευcαν·
ἀπεγράφηcαν οἱ λαοὶ | τῷ δόγματι τοῦ Καίcαροc·
ἐπεγράφημεν οἱ πιcτοὶ | ὀνόματι θεότητοc
cοῦ τοῦ ἐνανθρωπήcαντοc θεοῦ ἡμῶν·
μέγα cου τὸ ἔλεοc, κύριε, δόξα cοι.

---

12 ἁγιόζευκτον E — γ΄. nomen melodi om. E — 1 τῇ ψυχῇ E — 6 Iob I 21 — 13 ὑπέμειναc E
Cassiae nomen om. E — 12 κύριε om. Barth.

β΄. Ἰδόμελον εἰς τὸ γενέθλιον Ἰωάννου τοῦ Βαπτιστοῦ (Ἰουν. 24)

ἦχος πλ. δ΄.

Ἡσαΐου νῦν τοῦ προφήτου ἡ φωνὴ
σήμερον ἐν τῇ τοῦ μείζονος | προφητῶν κυήσει
Ἰωάννου πεπλήρωται·
Ἰδοὺ, γάρ φησιν, ἀποστελῶ | τὸν ἄγγελόν μου πρὸ προσώπου σου,
ὃς κατασκευάσει τὴν ὁδόν σου·
οὗτος οὖν, | ὡς τοῦ ἐπουρανίου βασιλέως | στρατιώτης προδραμὼν,
ὡς ἀληθῶς εὐθείας ἐποίει | τὰς τρίβους τοῦ θεοῦ ἡμῶν,
ἄνθρωπος μὲν τὴν φύσιν, | ἄγγελος δὲ τὸν βίον ὑπάρχων·
ἁγνείαν γὰρ παντελῆ | καὶ σωφροσύνην ἀσπασάμενος
εἶχε μὲν τὸ κατὰ φύσιν, | ἔφυγε δὲ τὸ παρὰ φύσιν,
ὑπὲρ φύσιν ἀγωνισάμενος·
αὐτὸν ἅπαντες πιστοὶ | ἐν ἀρεταῖς μιμούμενοι
πρεσβεύειν ὑπὲρ ἡμῶν δυσωπήσωμεν
εἰς τὸ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

ΚΑΣΣΙΑΝΗΣ ΜΟΝΑΧΗΣ

Ἰδιόμελον εἰς τὴν μεγάλην Τετάρτην (Τριῳδ. σελ. 360)

ἦχος πλ. δ΄.

Κύριε, | ἡ ἐν πολλαῖς ἁμαρτίαις περιπεσοῦσα γυνὴ,
τὴν σὴν | αἰσθομένη θεότητα,
μυροφόρου ἀναλαβοῦσα τάξιν,
ὀδυρομένη μύρον σοι | πρὸ τοῦ ἐνταφιασμοῦ κομίζει·
οἴμοι! λέγουσα, | ὅτι νύξ μοι ὑπάρχει,
οἶστρος ἀκολασίας | ζοφώδης τε καὶ ἀσέληνος,
ἔρως τῆς ἁμαρτίας·
δέξαι μου τὰς πηγὰς τῶν δακρύων
ὁ νεφέλαις διεξάγων | τῆς θαλάσσης τὸ ὕδωρ·
κάμφθητί μοι | πρὸς τοὺς στεναγμοὺς τῆς καρδίας
ὁ κλίνας τοὺς οὐρανοὺς | τῇ ἀφράστῳ σου κενώσει·
καταφιλήσω τοὺς ἀχράντους σου πόδας,
ἀποσμήξω τούτους δὲ πάλιν
τοῖς τῆς κεφαλῆς μου βοστρύχοις·
ὧν ἐν τῷ παραδείσῳ Εὔα τὸ δειλινὸν
κρότον τοῖς ὠσὶν ἠχηθεῖσα | τῷ φόβῳ ἐκρύβη·
ἁμαρτιῶν μου τὰ πλήθη | καὶ κριμάτων σου ἀβύσσους
τίς ἐξιχνιάσει, ψυχοσῶστα σωτήρ μου;
μή με τὴν σὴν δούλην παρίδῃς
ὁ ἀμέτρητον ἔχων τὸ ἔλεος.

β΄. nomen auctoris om. E — v. 1 Malach. 3, 1 — 4 Ies. 40, 3 — 5 ὁδόν σου ἔμπροσθέν σου E — 6 οὖν ὁ τοῦ Barth. — 8 τῇ φύσει Barth. — 10 παρὰ τὴν φύσιν E
Cassianae carm. v. 4 μύρα Triod. — 11 ἀφάτῳ Triod. — 19 an τὸν δειλινόν?

ΜΑΝΟΥΗΛ ΤΟΥ ΧΡΥϹΑΦΗ

Ἰδιόμελον εἰϲ μνήμην τῆϲ ἁγίαϲ Μαρίνηϲ (Ἰουλ. 17)

ἦχοϲ πλ. α΄.

Ἐπέϲτη ϲήμερον ἡ ϲεβάϲμιοϲ μνήμη ϲου,
Μαρίνα πολύαθλε,
ἐπέϲτη ϲήμερον ϲυγκαλοῦϲα τοὺϲ πιϲτοὺϲ
πρὸϲ ϲὴν θείαν πανήγυριν·
ἀθλητικὴν γὰρ ἀνδρείαν ἐνδειξαμένη
ἐβόαϲ τοῖϲ ἀνόμοιϲ ἐν τῷ ϲκάμματι·
ξεέϲθωϲαν ϲάρκεϲ μου, χεέϲθω καὶ τὸ αἷμα
καὶ ϲτρεβλούϲθωϲάν μου τὰ μέλη πάντα·
τὸν γὰρ Χριϲτὸν προϲκυνῶ, | οὐ θύω τοῖϲ εἰδώλοιϲ.

ἦχοϲ γ΄.

Τὴν νοητὴν χελιδόνα καὶ ὡραιοτάτην τρυγόνα,
τὴν ἁγνὴν περιϲτεράν,
τὴν κεχρυϲωμένην ταῖϲ τῶν ἀρετῶν πτέρυξι,
τὴν ἀναπτᾶϲαν εὐπετῶϲ πρὸϲ τὸν ἐπουράνιον νυμφίον Χριϲτόν,
Μαρίναν τὴν μάρτυρα ἀνευφημήϲωμεν
καὶ μακαρίϲωμεν.

ΛΕΟΝΤΟϹ ΤΟΥ ΒΑϹΙΛΕΩϹ

Ἑωθινά, ψαλλόμενα κατὰ κυριακὴν εἰϲ τοὺϲ αἴνουϲ.

ἦχοϲ α΄.

Εἰϲ τὸ ὄροϲ τοῖϲ μαθηταῖϲ ἐπειγομένοιϲ
διὰ τὴν χαμόθεν ἔπαρϲιν | ἐπέϲτη ὁ κύριοϲ·
καὶ προϲκυνήϲαντεϲ αὐτὸν | καὶ τὴν δοθεῖϲαν ἐξουϲίαν
πανταχοῦ διδαχθέντεϲ
εἰϲ τὴν ὑπ᾽ οὐρανὸν ἐξαπεϲτέλλοντο,
κηρύξαι τὴν ἐκ νεκρῶν ἀνάϲταϲιν
καὶ τὴν εἰϲ οὐρανοὺϲ ἀποκατάϲταϲιν·
οἷϲ καὶ ϲυνδιαιωνίζειν | ὁ ἀψευδὴϲ ἐπηγγείλατο
Χριϲτὸϲ ὁ θεὸϲ | καὶ ϲωτὴρ τῶν ψυχῶν ἡμῶν.

Leontis in matutinis carminibus recognoscendis codd. DE usi sumus — v. 1 Matth. XXVIII 16—20. Marc. XVI 15. Ioan. XX 21—23 — 5 ἐξαποϲτέλλονται E

ἦχοϲ β΄.

Μετὰ μύρων προϲελθούϲαιϲ
ταῖϲ περὶ τὴν Μαριὰμ γυναιξὶ
καὶ διαπορουμέναιϲ, | πῶϲ ἔϲται αὐταῖϲ τυχεῖν τοῦ ἐφετοῦ,
ὡράθη ὁ λίθοϲ μετηρμένοϲ
καὶ θεῖοϲ νεανίαϲ
καταϲτέλλων | τὸν θόρυβον αὐτῶν τῆϲ ψυχῆϲ·
ἠγέρθη, γάρ φηϲιν, | Ἰηϲοῦϲ ὁ κύριοϲ·
διὸ κηρύξατε | τοῖϲ κήρυξιν αὐτοῦ μαθηταῖϲ
εἰϲ τὴν Γαλιλαίαν δραμεῖν
καὶ ὄψεϲθαι αὐτὸν | ἀναϲτάντα ἐκ νεκρῶν,
ὡϲ ζωοδότην καὶ κύριον.

ἦχοϲ γ΄.

Τῆϲ Μαγδαληνῆϲ Μαρίαϲ
τὴν τοῦ ϲωτῆροϲ εὐαγγελιζομένηϲ
ἐκ νεκρῶν ἀνάϲταϲιν | καὶ ἐμφάνειαν,
διαπιϲτοῦντεϲ οἱ μαθηταὶ | ὠνειδίζοντο τὸ τῆϲ καρδίαϲ ϲκληρόν·
ἀλλὰ τοῖϲ ϲημείοιϲ | καθοπλιϲθέντεϲ καὶ θαύμαϲι
πρὸϲ τὸ κήρυγμα ἀπεϲτέλλοντο.
καὶ ϲὺ μέν, κύριε, πρὸϲ τὸν ἀρχίφωτον
ἀνελήφθηϲ πατέρα,
οἱ δὲ ἐκήρυττον | πανταχοῦ τὸν λόγον
τοῖϲ θαύμαϲι πιϲτούμενοι·
διὸ οἱ φωτιϲθέντεϲ δι᾽ αὐτῶν
δοξάζομέν ϲου | τὴν ἐκ νεκρῶν ἀνάϲταϲιν,
φιλάνθρωπε κύριε.

ἦχοϲ δ΄.

Ὄρθροϲ ἦν βαθύϲ, | καὶ αἱ γυναῖκεϲ ἦλθον
ἐπὶ τὸ μνῆμά ϲου, Χριϲτέ,
ἀλλὰ τὸ ϲῶμα οὐχ εὑρέθη
τὸ ποθούμενον αὐταῖϲ·
διὸ ἀπορουμέναιϲ
οἱ ταῖϲ ἀϲτραπτούϲαιϲ | ἐϲθήϲεϲιν ἐπιϲτάντεϲ,
τί τὸν ζῶντα μετὰ τῶν νεκρῶν | ζητεῖτε, ἔλεγον·
ἠγέρθη, ὡϲ προεῖπε·
τί ἀμνημονεῖτε τῶν ῥημάτων αὐτοῦ;
οἷϲ πειϲθεῖϲαι | τὰ ὁραθέντα ἐκήρυττον,
ἀλλ᾽ ἐδόκει λῆροϲ | τὰ εὐαγγέλια·
οὕτωϲ ἦϲαν ἔτι | νωθεῖϲ οἱ μαθηταί·
ἀλλ᾽ ὁ Πέτροϲ ἔδραμε | καὶ ἰδὼν | ἐδόξαϲέ ϲου
πρὸϲ ἑαυτὸν τὰ θαυμάϲια·

---

10 Matth. XXVIII 1—7. Marc. XVI 1—7. Luc. XXIV 1—12. Ioann. XX 1—18

ἦχοϲ πλ. α΄.

Ὦ τῶν ϲοφῶν ϲου | κριμάτων, Χριϲτέ!
πῶϲ Πέτρῳ μὲν τοῖϲ ὀθονίοιϲ μόνοιϲ
ἔδωκαϲ ἐννοῆϲαί ϲου τὴν ἀνάϲταϲιν;
Λουκᾷ δὲ καὶ Κλεόπᾳ | ϲυμπορευόμενοϲ ὡμίλειϲ,
καὶ ὁμιλῶν | οὐκ εὐθέωϲ ἑαυτὸν φανεροῖϲ·
διὸ καὶ ὀνειδίζῃ,
ὡϲ μόνοϲ παροικῶν ἐν Ἱερουϲαλὴμ
καὶ μὴ μετέχων | τῶν ἐν τέλει βουλευμάτων αὐτοῖϲ·
ἀλλ' ὁ πάντα | πρὸϲ τὸ τοῦ πλάϲματοϲ
ϲυμφέρον οἰκονομῶν
καὶ τὰϲ περὶ ϲοῦ προφητείαϲ ἀνέπτυξαϲ,
καὶ ἐν τῷ εὐλογεῖν τὸν ἄρτον
ἐγνώϲθηϲ αὐτοῖϲ,
ὧν καὶ πρὸ τούτου αἱ καρδίαι
πρὸϲ γνῶϲίν ϲου ἀνεφλέγοντο·
οἳ καὶ τοῖϲ μαθηταῖϲ ϲυνηθροιϲμένοιϲ
ἤδη τρανῶϲ | ἐκήρυττόν ϲου τὴν ἀνάϲταϲιν,
δι' ἧϲ ἐλέηϲον ἡμᾶϲ.

ἦχοϲ πλ. β΄.

Ἡ ὄντωϲ εἰρήνη ϲύ, Χριϲτέ,
πρὸϲ ἀνθρώπουϲ θεοῦ | εἰρήνην τὴν ϲὴν διδοὺϲ
μετὰ τὴν ἔγερϲιν μαθηταῖϲ,
ἐμφόβουϲ ἔδειξαϲ αὐτοὺϲ | δόξανταϲ πνεῦμα ὁρᾶν·
ἀλλὰ κατέϲτειλαϲ | τὸν τάραχον αὐτῶν
δείξαϲ τὰϲ χεῖραϲ | καὶ τοὺϲ πόδαϲ ϲου·
πλὴν ἀπιϲτούντων ἔτι | τῇ τῆϲ τροφῆϲ μεταλήψει
καὶ διδαχῶν ἀναμνήϲει
διήνοιξαϲ αὐτῶν τὸν νοῦν | τοῦ ϲυνιέναι τὰϲ γραφάϲ·
οἷϲ καὶ τὴν πατρικὴν | ἐπαγγελίαν καθυποϲχόμενοϲ
καὶ εὐλογήϲαϲ αὐτοὺϲ | διέϲτηϲ πρὸϲ οὐρανόν·
διὸ ϲὺν αὐτοῖϲ προϲκυνοῦμέν ϲε,
κύριε, δόξα ϲοι.

ἦχοϲ βαρύϲ.

Ἰδού, ϲκοτία καὶ πρωΐ,
καὶ τί πρὸϲ τὸ μνημεῖον, Μαρία, ἕϲτηκαϲ
πολὺ ϲκότοϲ ἔχουϲα ταῖϲ φρεϲίν;
ὑφ' οὗ ποῦ τέθειται ζητεῖϲ ὁ Ἰηϲοῦϲ·
ἀλλ' ὅρα τοὺϲ ϲυντρέχονταϲ μαθητάϲ,

---

52 Marc. XVI 12. Luc. XXIV 13—35 — 56 αὐτῆϲ E — 67 ϲοί DE — 70 Luc. XXIV 36—49 — 71 αὐτῶν τῆϲ ψυχῆϲ Oct. — 82 πολλὺν ϲκότον D πολὺν ϲκότοϲ E

πῶc τοῖc ὀθονίοιc καὶ τῷ coυδαρίῳ
τὴν ἀνάcταcιν ἐτεκμήραντο,
καὶ ἀνεμνήcθηcαν | τῆc περὶ τούτου γραφῆc·
μεθ' ὧν καὶ δι' ὧν | καὶ ἡμεῖc πιcτεύcαντεc
ἀνυμνοῦμέν cε | τὸν Ζωοδότην Χριcτόν·

ἦχοc πλ. δ΄.

Τὰ τῆc Μαρίαc δάκρυα | οὐ μάτην χεῖται θερμῶc·
ἰδοὺ γὰρ κατηξίωται | καὶ διδαχῶν τῶν ἀγγέλων
καὶ τῆc ὄψεωc αὐτοῦ τοῦ Ἰηcοῦ·
ἀλλ' ἔτι πρόcγεια φρονεῖ, | οἷα γυνὴ ἀcθενήc·
διὸ καὶ ἀποπέμπεται | μὴ προcψαῦcαί coι, Χριcτέ·
ἀλλ' ὅμωc κήρυξ πέμπεται | τοῖc coῖc μαθηταῖc,
οἷc εὐαγγέλια φέρουcα
τὴν πρὸc τὸν πατρῷον κλῆρον | ἄνοδον ἀπαγγέλλει cου·
μεθ' ἧc ἀξίωcον καὶ ἡμᾶc
τῆc ἐμφανείαc cου, δέcποτα κύριε.

ἦχοc πλ. α΄.

Ὡc ἐπ' ἐcχάτων τῶν χρόνων | οὔcηc ὀψίαc caββάτου
ἐφίcταcαι τοῖc φίλοιc, Χριcτὲ,
καὶ θαύματι θαῦμα βεβαιοῖc,
τῇ κεκλειcμένῃ εἰcόδῳ τῶν θυρῶν
τὴν ἐκ νεκρῶν cου ἀνάcταcιν·
ἀλλ' ἔπληcαc χαρᾶc τοὺc μαθητὰc,
καὶ πνεύματοc ἁγίου μετέδωκαc αὐτοῖc,
καὶ ἐξουcίαν ἔνειμαc | ἀφέcεωc ἁμαρτιῶν,
καὶ τὸν Θωμᾶν οὐ κατέλιπεc
τῷ τῆc ἀπιcτίαc | καταβαπτίζεcθαι κλύδωνι·
διὸ παράcχου καὶ ἡμῖν | γνῶcιν ἀληθῆ
καὶ ἄφεcιν πταιcμάτων, | εὔcπλαγχνε κύριε.

ἦχοc πλ. β΄.

Μετὰ τὴν εἰc ᾅδου κάθοδον
καὶ τὴν ἐκ νεκρῶν ἀνάcταcιν
ἀθυμοῦντεc, ὡc εἰκὸc,
ἐπὶ τῷ χωριcμῷ cου, Χριcτὲ, οἱ μαθηταὶ
πρὸc ἐργαcίαν ἐτράπηcαν·
καὶ πάλιν πλοῖα καὶ δίκτυα,
καὶ ἄγρα οὐδαμοῦ·
ἀλλὰ cὺ, cῶτερ, ἐμφανιcθεὶc,

85 Luc. XXIV 12. Ioan. XX 1—10. — 90 χεῖνται E — 91 διδαcκόντων ἀγγέλων E — 92 ὄψεωc τῆc cῆc, ὦ Ἰηcοῦ Oct. — 94 Ioann. XX 17 — coι om. DE — Χριcτὸν E — 96 ἔφηcε . . . ἀπαγγέλλουcα Oct. — 100 οὕτωc ὀψίαc DE — caββάτων Oct. cf. Ioann. XX 19—29 — 119 Ioann. XXI 1—13

ὡς δεσπότης πάντων,
δεξιοῖς τὰ δίκτυα | κελεύεις βαλεῖν·
καὶ ἦν ὁ λόγος ἔργον εὐθὺς,
καὶ πλῆθος τῶν ἰχθύων πολὺ
καὶ δεῖπνον ξένον | ἕτοιμον ἐν γῇ·
οὗ μετασχόντων τότε σου τῶν μαθητῶν
καὶ ἡμᾶς νῦν νοητῶς καταξίωσον ἐντρυφῆσαι,
φιλάνθρωπε κύριε.

ἦχος πλ. δ'.

Φανερῶν ἑαυτὸν | τοῖς μαθηταῖς ὁ σωτὴρ
μετὰ τὴν ἀνάστασιν
Σίμωνι δέδωκε | τὴν τῶν προβάτων νομὴν,
εἰς ἀγάπης ἀντέκτισιν
τὴν τοῦ ποιμαίνειν φροντίδα αἰτῶν·
διὸ καὶ ἔλεγεν· | εἰ φιλεῖς με, Πέτρε,
ποίμαινε τὰ ἀρνία μου, | ποίμαινε τὰ πρόβατά μου·
ὁ δὲ εὐθέως ἐνδεικνύμενος τὸ φιλόστοργον
περὶ τοῦ ἄλλου μαθητοῦ ἐπυνθάνετο·
ὧν ταῖς πρεσβείαις, Χριστὲ, τὴν ποίμνην σου διαφύλαττε
ἐκ λύκων λυμαινομένων αὐτήν.

Ἰδιόμελον (Πεντηκ. 187).
ἦχος πλ. δ'.

Δεῦτε λαοὶ, | τὴν τρισυπόστατον θεότητα προσκυνήσωμεν,
υἱὸν ἐν τῷ πατρὶ | σὺν ἁγίῳ πνεύματι·
πατὴρ γὰρ | ἀχρόνως ἐγέννησεν
υἱὸν συναΐδιον καὶ σύνθρονον,
καὶ πνεῦμα ἅγιον ἦν ἐν τῷ πατρὶ
σὺν υἱῷ δοξαζόμενον·
μία δύναμις, | μία οὐσία, μία θεότης,
ἣν προσκυνοῦντες πάντες λέγομεν·
ἅγιος ὁ θεὸς | ὁ τὰ πάντα δημιουργήσας δι' υἱοῦ
συνεργείᾳ τοῦ ἁγίου πνεύματος·
ἅγιος ἰσχυρὸς, | δι' οὗ | τὸν πατέρα ἐγνώκαμεν
καὶ τὸ πνεῦμα τὸ ἅγιον | ἐπεδήμησεν ἐν κόσμῳ·
ἅγιος ἀθάνατος τὸ παράκλητον πνεῦμα,
τὸ ἐκ πατρὸς ἐκπορευόμενον
καὶ ἐν υἱῷ ἀναπαυόμενον·
τριὰς ἁγία, δόξα σοι.

---

120 ὁ δεσπότης E — 128 σου σωτὴρ Oct. — 130 Ioann. XXI 15—23 — σύσσημον δέδωκε E — 130. 132 δέδωκας . . . ἔλεγες Oct. — 132 διό μοι ἔλ. E — με om. DE — Ἰδιόμελον Λέοντος] nomen auctoris om. E

ΚΩΝϹΤΑΝΤΙΝΟΥ ΤΟΥ ΠΟΡΦΥΡΟΓΕΝΝΗΤΟΥ ΕΞΑΠΟϹΤΕΙΛΑΡΙΑ.

Τοῖϲ μαθηταῖϲ ϲυνέλθωμεν | ἐν ὄρει Γαλιλαίαϲ,
πίϲτει Χριϲτὸν θεάϲαϲθαι | λέγοντα ἐξουϲίαν
λαβεῖν τῶν ἄνω καὶ κάτω· | μάθωμεν, πῶϲ διδάϲκει
βαπτίζειν εἰϲ τὸ ὄνομα | τοῦ πατρὸϲ ἔθνη πάντα
καὶ τοῦ υἱοῦ
καὶ ἁγίου πνεύματοϲ, | καὶ ϲυνεῖναι
τοῖϲ μύϲταιϲ, ὡϲ ὑπέϲχετο, | ἕωϲ τῆϲ ϲυντελείαϲ.

Τὸν λίθον θεωρήϲαϲαι | ἀποκεκυλιϲμένον
αἱ μυροφόροι ἔχαιρον· | εἶδον γὰρ νεανίϲκον
καθήμενον ἐν τῷ τάφῳ, | καὶ αὐτὸϲ ταύταιϲ ἔφη·
Ἰδού, Χριϲτὸϲ ἐγήγερται· | εἴπατε ϲὺν τῷ Πέτρῳ
τοῖϲ μαθηταῖϲ·
ἐν τῷ ὄρει φθάϲατε | Γαλιλαίαϲ,
ἐκεῖ ὑμῖν ὀφθήϲεται, | ὡϲ προεῖπε, τοῖϲ φίλοιϲ.

Ὅτι Χριϲτὸϲ ἐγήγερται, | μή τιϲ διαπιϲτείτω·
ἐφάνη τῇ Μαρίᾳ γάρ, | ἔπειτα καθωράθη
τοῖϲ εἰϲ ἀγρὸν ἀπιοῦϲι· | μύϲταιϲ δὲ πάλιν ὤφθη
ἀνακειμένοιϲ ἕνδεκα, | οὓϲ βαπτίζειν ἐκπέμψαϲ
εἰϲ οὐρανούϲ,
ὅθεν καταβέβηκεν, | ἀνελήφθη,
ἐπικυρῶν τὸ κήρυγμα | πλήθεϲι τῶν ϲημείων·

Ταῖϲ ἀρεταῖϲ ἀϲτράψαντεϲ | ἴδωμεν ἐπιϲτάνταϲ
ἐν ζωηφόρῳ μνήματι | ἄνδραϲ ἐν ἀϲτραπτούϲαιϲ
ἐϲθήϲεϲι μυροφόροιϲ | κλινούϲαιϲ εἰϲ γῆν ὄψιν·
τοῦ οὐρανοῦ δεϲπόζοντοϲ | ἔγερϲιν διδαχθῶμεν
καὶ πρὸϲ ζωῆϲ
τὸ μνημεῖον δράμωμεν | ϲὺν τῷ Πέτρῳ
καὶ τὸ πραχθὲν θαυμάϲαντεϲ | μείνωμεν Χριϲτὸν βλέψαι.

Ἡ ζωὴ καὶ ὁδὸϲ Χριϲτὸϲ | ἐκ νεκρῶν τῷ Κλεόπᾳ
καὶ τῷ Λουκᾷ ϲυνώδευϲεν, | οἷϲπερ καὶ ἐπεγνώϲθη
εἰϲ Ἐμμαοὺϲ κλῶν τὸν ἄρτον· | ὧν ψυχαὶ καὶ καρδίαι
καιόμεναι ἐτύγχανον, | ὅτε τούτοιϲ ἐλάλει
ἐν τῇ ὁδῷ
καὶ γραφαῖϲ ἡρμήνευεν, | ἃ ὑπέϲτη,
μεθ᾽ ὧν «ἠγέρθη» κράζωμεν· | ὤφθη τε καὶ τῷ Πέτρῳ.

Constantini in carminibus cod. D unum adhibuimus — 62 ζωὴν ἐν μνημείῳ Oct. — 35 κράξομεν D

Δεικνύων, ὅτι ἄνθρωπος, | σῶτερ, εἶ κατ' οὐσίαν,
ἐν μέσῳ στὰς ἐδίδασκες, | ἀναστὰς ἐκ τοῦ τάφου
καὶ βρώσεως συμμετέσχες, | βάπτισμα μετανοίας·
εὐθὺς δὲ πρὸς οὐράνιον | ἀνελήφθης πατέρα
καὶ μαθηταῖς
πέμπειν τὸν παράκλητον | ἐπηγγείλω,
ὑπέρθεε θεάνθρωπε· | δόξα τῇ σῇ ἐγέρσει.

Ὅτι ἦραν τὸν κύριον | τῆς Μαρίας εἰπούσης,
ἐπὶ τὸν τάφον ἔδραμον | Σίμων Πέτρος καὶ ἄλλος
μύστης Χριστοῦ, ὃν ἠγάπα· | ἔτρεχον δὲ οἱ δύο
καὶ εὗρον τὰ ὀθόνια | ἔνδον κείμενα μόνα,
καὶ κεφαλῆς
ἦν δὲ τὸ σουδάριον | χωρὶς τούτων·
διὸ πάλιν ἡσύχασαν, | τὸν Χριστὸν ἕως εἶδον.

Δύο ἀγγέλους βλέψασα | ἔνδοθεν τοῦ μνημείου
Μαρία ἐξεπλήττετο, | καὶ Χριστὸν ἀγνοοῦσα
ὡς κηπουρὸν ἐπηρώτα· | κύριε, ποῦ τὸ σῶμα
τοῦ Ἰησοῦ μου τέθεικας; | κλήσει δὲ τοῦτον γνοῦσα
εἶναι αὐτὸν
τὸν σωτῆρα ἤκουσε· | μή μου ἅπτου,
πρὸς τὸν πατέρα ἄπειμι, | εἰπὲ τοῖς ἀδελφοῖς μου.

Συγκεκλεισμένων, δέσποτα, | τῶν θυρῶν ὡς εἰσῆλθες,
τοὺς ἀποστόλους ἔπλησας | πνεύματος παναγίου
εἰρηνικῶς ἐμφυσήσας· | οἷς δεσμεῖν τε καὶ λύειν
τὰς ἁμαρτίας εἴρηκας· | καὶ ὀκτὼ μεθ' ἡμέρας
τὴν σὴν πλευρὰν
τῷ Θωμᾷ ὑπέδειξας | καὶ τὰς χεῖρας,
μεθ' οὗ βοῶμεν· κύριος | καὶ θεὸς σὺ ὑπάρχεις.

Τιβεριάδος θάλασσα | σὺν παισὶ Ζεβεδαίου
Ναθαναὴλ τῷ Πέτρῳ τε | σὺν δυσὶν ἄλλοις πάλαι
καὶ Θωμᾶν εἶχε πρὸς ἄγραν· | οἳ Χριστοῦ τῇ προστάξει
ἐν δεξιοῖς χαλάσαντες | πλῆθος εἷλκον ἰχθύων,
ὃν Πέτρος γνοὺς
πρὸς αὐτὸν ἐνήξατο· | οἷς τὸ τρίτον
φανεὶς καὶ ἄρτον ἔδειξε | καὶ ἰχθὺν ἐπ' ἀνθράκων.

Μετὰ τὴν θείαν ἔγερσιν | τρὶς τῷ Πέτρῳ, φιλεῖς με,
πυθόμενος ὁ κύριος | τῶν ἰδίων προβάτων
προβάλλεται ποιμενάρχην· | ὃς ἰδών, ὃν ἠγάπα

38 exspectamus συμμετέχων — 52 κηπωρόν D — 65 Πέτρῳ δέ D — 69 ἐνήχετο Oct.

ὁ Ἰηcοῦc, ἑπόμενον | ἤρετο τὸν δεcπότην·
οὗτος δὲ τί;
ἐὰν θέλω, ἔφηcε, | μένειν τοῦτον,
ἕως καὶ πάλιν ἔρχομαι, | τί πρὸc cὲ, φίλε Πέτρε;

ΕΞΑΠΟCΤΕΙΛΑΡΙΑ ΑΔΕCΠΟΤΑ.

τῇ κυριακῇ τοῦ Πάcχα (Πεντηκ. cελ. 4)

ἦχοc β'.

Cαρκὶ ὑπνώcαc ὡc θνητὸc | ὁ βαcιλεὺc καὶ κύριοc
τριήμεροc ἐξανέcτηc,
Ἀδὰμ ἐγείραc ἐκ φθορᾶc | καὶ καταργήcαc θάνατον·
Πάcχα τῆc ἀφθαρcίαc | τοῦ κόcμου cωτήριον.

τῇ μεγάλῃ Δευτέρᾳ (Τριῳδ. cελ. 346)

ἦχοc γ'.

Τὸν νυμφῶνά cου βλέπω, | cωτήρ μου, κεκοcμημένον,
καὶ ἔνδυμα οὐκ ἔχω, | ἵνα εἰcέλθω ἐν αὐτῷ·
λάμπρυνόν μου τὴν cτολὴν τῆc ψυχῆc,
φωτοδότα, καὶ cῶcόν με.

μνήμῃ τοῦ Γεωργίου (Ἀπριλ. 23)

ἦχοc β'.

Ἔαρ ἡμῖν ἐξέλαμψεν | ἡ λαμπρὰ τοῦ δεcπότου
καὶ θεία ἐξανάcταcιc, | πρὸc οὐράνιον πάcχα
ἐκ γῆc ἡμᾶc παραπέμπον· | ταύτῃ δὲ cυνεκλάμπει
τοῦ πανενδόξου μάρτυροc | Γεωργίου ἡ μνήμη,
ἡ φωταυγήc·
ἣν φαιδρῶc τελέcωμεν, | ἵνα θείαc
ἀξιωθῶμεν χάριτοc | πρὸc Χριcτοῦ τοῦ cωτῆροc.

τῶν Χριcτουγέννων (Δεκεμβ. 25)

ἦχοc α'.

Ἐπεcκέψατο ἡμᾶc | ἐξ ὕψουc ὁ cωτὴρ ἡμῶν,
ἀνατολὴ ἀνατολῶν, | καὶ οἱ ἐν cκότει καὶ cκιᾷ
εὕρομεν τὴν ἀλήθειαν·
καὶ γὰρ ἐκ τῆc παρθένου | ἐτέχθη ὁ κύριοc.

ΑΝΑΤΟΛΙΟΥ

Στιχηρὰ ἀναστάσιμα ἐν τῷ ἑσπερινῷ τοῦ σαββάτου ψαλλόμενα.

α'. ἦχος β'.

Σὲ τὸν σταυρωθέντα καὶ ταφέντα
ἄγγελος ἐκήρυξε δεσπότην
καὶ ἔλεγε ταῖς γυναιξί·
δεῦτε ἴδετε, ὅπου ἔκειτο ὁ κύριος·
ἀνέστη γάρ, καθὼς εἶπεν, | ὡς παντο-
διό σε προσκυνοῦμεν [δύναμος·
τὸν μόνον ἀθάνατον,
ζωοδότα Χριστέ, | ἐλέησον ἡμᾶς.

Ἐν τῷ σταυρῷ σου κατήργησας
τὴν τοῦ ξύλου κατάραν,
ἐν τῇ ταφῇ σου ἐνέκρωσας
τοῦ θανάτου τὸ κράτος,
ἐν δὲ τῇ ἐγέρσει σου
ἐφώτισας τὸ γένος τῶν ἀνθρώπων·
διὰ τοῦτό σοι βοῶμεν·
εὐεργέτα Χριστέ,
ὁ θεὸς ἡμῶν, δόξα σοί.

Ἠνοίγησάν σοι, κύριε,
φόβῳ πύλαι θανάτου,
πυλωροὶ δὲ ᾄδου | ἰδόντες σε ἔπτηξαν·
πύλας γὰρ χαλκᾶς συνέτριψας
καὶ μοχλοὺς σιδηροῦς συνέθλασας
καὶ ἐξήγαγες ἡμᾶς ἐκ σκότους
καὶ σκιᾶς θανάτου
καὶ τοὺς δεσμοὺς ἡμῶν διέρρηξας.

Τὸν σωτήριον ὕμνον
ᾄδοντες ἐκ στομάτων ἀναπέμψωμεν·
δεῦτε πάντες ἐν οἴκῳ κυρίου
προσπέσωμεν λέγοντες·
ὁ ἐπὶ ξύλου σταυρωθεὶς
καὶ ἐκ νεκρῶν ἀναστὰς
καὶ ὢν ἐν κόλποις πατρὸς
ἱλάσθητι ταῖς ἁμαρτίαις ἡμῶν.

β'. ἦχος δ'.

Δεῦτε ἀνυμνήσωμεν, λαοί,
τὴν τοῦ σωτῆρος τριήμερον ἔγερσιν,
δι' ἧς ἐλυτρώθημεν
τῶν τοῦ ᾄδου ἀλύτων δεσμῶν,
καὶ ἀφθαρσίαν καὶ ζωὴν
πάντες ἐλάβομεν, | κράζοντες·
ὁ σταυρωθεὶς καὶ ταφεὶς καὶ ἀναστὰς
σῶσον ἡμᾶς τῇ ἀναστάσει σου,
μόνε φιλάνθρωπε.

Ἄγγελοι καὶ ἄνθρωποι, σωτήρ,
τὴν σὴν ὑμνοῦσιν | τριήμερον ἔγερσιν,
δι' ἧς κατηυγάσθη
τῆς οἰκουμένης τὰ πέρατα,
καὶ τῆς δουλείας τοῦ ἐχθροῦ
πάντες ἐλυτρώθημεν, | κράζοντες·
ζωοποιὲ παντοδύναμε σωτήρ,
σῶσον ἡμᾶς τῇ ἀναστάσει σου,
μόνε φιλάνθρωπε.

Πύλας χαλκᾶς συνέτριψας
καὶ μοχλοὺς συνέθλασας,
Χριστὲ ὁ θεός,
καὶ γένος ἀνθρώπων
πεπτωκὸς ἀνέστησας·
διὰ τοῦτο συμφώνως βοῶμεν·
ὁ ἀναστὰς ἐκ τῶν νεκρῶν,
κύριε, δόξα σοι.

Κύριε, ἡ ἐκ πατρός σου γέννησις
ἄχρονος ὑπάρχει καὶ ἀΐδιος,
ἡ ἐκ παρθένου σάρκωσις
ἄφραστος ἀνθρώποις
καὶ ἀνερμήνευτος,

Codd. ED — α' v. 24 ἀναμέλψωμεν Oct. — 29 τοῦ πατρός Oct. — β' v. 5 κράζοντες sequenti versui D hoc loco, infra v. 13 DE praetexunt — vv. 9—16 post v. 30 collocatos habet D — 23 ὑπῆρχε D — 25 ἄφραστος ὑπάρχει καὶ D

καὶ ἡ εἰς ᾄδου κάθοδος
φοβερὰ διαβόλῳ
καὶ τοῖς ἀγγέλοις αὐτοῦ·
θάνατον γὰρ πατήσας | τριήμερος ἀνέστης,
ἀφθαρσίαν παρέχων ἀνθρώποις
καὶ τὸ μέγα ἔλεος.

γʹ. ἦχος πλ. αʹ.

Ἑσπερινὴν προσκύνησιν
προσφέρομέν σοι τῷ ἀνεσπέρῳ φωτί,
τῷ ἐπὶ τέλει τῶν αἰώνων
ὡς ἐν ἐσόπτρῳ διὰ σαρκὸς
λάμψαντι τῷ κόσμῳ
καὶ μέχρις ᾄδου κατελθόντι
καὶ τὸ ἐκεῖσε σκότος λύσαντι,
καὶ τὸ φῶς τῆς ἀναστάσεως τοῖς ἔθνεσι δείξαντι·
φωτοδότα κύριε, δόξα σοι.

Τὸν ἀρχηγὸν τῆς σωτηρίας ἡμῶν
Χριστὸν δοξολογήσωμεν·
αὐτοῦ γὰρ ἐκ νεκρῶν ἀναστάντος
κόσμος ἐκ πλάνης σέσωσται·
χαίρει χορὸς ἀγγέλων·
φεύγει δαιμόνων πλάνη·
Ἀδὰμ πεσὼν ἀνίσταται·
διάβολος κατήργηται.

Οἱ τῆς κουστωδίας ἐνηχοῦντο
ὑπὸ τῶν παρανόμων·
καλύψατε Χριστοῦ τὴν ἔγερσιν
καὶ λάβετε ἀργύρια
καὶ εἴπατε, ὅτι ἡμῶν κοιμωμένων
ἐκ τοῦ μνημείου | ἐσυλήθη ὁ νεκρός·
τίς εἶδε; | τίς ἤκουσε νεκρὸν κλαπέντα ποτέ,
μάλιστα ἐσμυρνισμένον καὶ γυμνόν,
καταλιπόντα ἐν τῷ τάφῳ τὰ ἐντάφια;
μὴ πλανᾶσθε, Ἰουδαῖοι·
μάθετε τὰς ῥήσεις τῶν προφητῶν
καὶ γνῶτε, ὅτι αὐτός ἐστιν ἀληθῶς
ὁ λυτρωτὴς τοῦ κόσμου
καὶ παντοδύναμος.

Κύριε, ὁ τὸν ᾄδην σκυλεύσας
καὶ τὸν θάνατον πατήσας, σωτὴρ ἡμῶν,
ὁ φωτίσας τὸν κόσμον
τῷ σταυρῷ τῷ τιμίῳ,
ἐλέησον ἡμᾶς.

δʹ. ἦχος βαρύς.

Κἂν συνελήφθης, Χριστέ, | ὑπὸ ἀνόμων ἀνδρῶν,
ἀλλὰ σύ μου εἶ θεὸς | καὶ οὐκ αἰσχύνομαι·
ἐμαστίχθης τὸν νῶτον, οὐκ ἀρνοῦμαι·
σταυρῷ προσηλώθης | καὶ οὐ κρύπτω·
εἰς τὴν ἔγερσίν σου καυχῶμαι·
ὁ γὰρ θάνατός σου ζωή μου·
παντοδύναμε καὶ φιλάνθρωπε | κύριε, δόξα σοι.

Δαυϊτικὴν προφητείαν ἐκπληρῶν
Χριστὸς μεγαλειότητα
ἐν Σιὼν τὴν οἰκείαν | μαθηταῖς ἐξεκάλυψεν,
αἰνετὸν δεικνὺς ἑαυτὸν | καὶ δοξαζόμενον ἀεὶ
σὺν πατρί τε καὶ πνεύματι ἁγίῳ,

γʹ. v. 13 πλάνην E — 24 καὶ ἐν τῷ E var. lect. — ἐντάφια αὐτοῦ Oct. — 31 σταυρῷ sine τῷ Oct. — δʹ. v. 10 ἀπεκάλυψεν D — 11 δοξαζόμενον αὐτόν E

πρότερον μὲν ἄcαρκον ὡc λόγον,
ὕcτερον δὲ δι' ἡμᾶc cεcαρκωμένον
καὶ νεκρωθέντα ὡc ἄνθρωπον,
καὶ ἀναcτάντα | κατ' ἐξουcίαν ὡc φιλάνθρωπον.

Κατῆλθεc ἐν τῷ ᾅδῃ, | Χριcτέ, ὡc ἠβουλήθηc,
ἐcκύλευcαc τὸν θάνατον | ὡc θεὸc καὶ δεcπότηc
καὶ ἀνέcτηc τριήμεροc,
cυναναcτήcαc τὸν Ἀδὰμ
ἐκ τῶν τοῦ ᾅδου δεcμῶν | καὶ τῆc φθορᾶc,
κραυγάζοντα καὶ λέγοντα·
δόξα τῇ ἀναcτάcει cου, | μόνε φιλάνθρωπε.

Ἐν τάφῳ κατετέθηc | ὡc ὁ ὑπνῶν, κύριε,
καὶ ἀνέcτηc τριήμεροc | ὡc δυνατὸc ἐν ἰcχύϊ,
cυναναcτήcαc τὸν Ἀδὰμ
ἐκ τῆc φθορᾶc τοῦ θανάτου | ὡc παντοδύναμοc.

ε'. ἦχοc πλ. δ'.

Ὁ ἐκ θεοῦ πατρὸc λόγοc, | πρὸ τῶν αἰώνων γεννηθεὶc,
ἐπ' ἐcχάτων δὲ τῶν χρόνων
ὁ αὐτὸc ἐκ τῆc ἀπειρογάμου cαρκωθεὶc,
βουλήcει θάνατον | cταυρώcει ὑπέμεινε
καὶ τὸν πάλαι νεκρωθέντα | ἄνθρωπον ἔcωcε
διὰ τῆc ἑαυτοῦ ἀναcτάcεωc.

Τὴν ἐκ νεκρῶν cου ἀνάcταcιν | δοξολογοῦμεν, Χριcτέ,
δι' ἧc ἠλευθέρωcαc | Ἀδαμιαῖον γένοc
ἐκ τῆc τοῦ ᾅδου τυραννίδοc
καὶ ἐδωρήcω τῷ κόcμῳ ὡc θεὸc
ζωὴν αἰώνιον | καὶ τὸ μέγα ἔλεοc.

Δόξα cοι, Χριcτὲ cωτὴρ, | υἱὲ θεοῦ μονογενὲc,
ὁ προcπαγεὶc ἐν τῷ cταυρῷ
καὶ ἀναcτὰc | ἐκ τάφου τριήμεροc.

Cὲ δοξάζομεν, κύριε, | τὸν ἑκουcίωc δι' ἡμᾶc
cταυρὸν ὑπομείναντα,
καὶ cὲ προcκυνοῦμεν, | παντοδύναμε cωτὴρ,
μὴ ἀπορρίψῃc ἡμᾶc | ἀπὸ τοῦ προcώπου cου,
ἀλλ' ἐπάκουcον | καὶ cῶcον ἡμᾶc
διὰ τῆc ἀναcτάcεώc cου, φιλάνθρωπε.

ε'. v. 4 cταύρωcιν θανάτου E Oct.

ϛ'. Ἰδιόμελον εἰς τὴν Χριστοῦ γέννησιν (Δεκ. 26)
ἦχος πλ. δ'.

Αἷμα καὶ πῦρ | καὶ ἀτμίδα καπνοῦ
τέρατα γῆς [ἃ] προεῖδεν Ἰωήλ·
αἷμα τὴν σάρκωσιν, | πῦρ τὴν θεότητα,
ἀτμίδα δὲ καπνοῦ | τὸ πνεῦμα τὸ ἅγιον,
τὸ ἐπελθὸν τῇ παρθένῳ | καὶ κόσμον εὐωδιάσαν·
μέγα τὸ μυστήριον | τῆς σῆς ἐνανθρωπήσεως,
κύριε, δόξα σοι.

ζ'. Ἰδιόμελον εἰς τὰ Θεοφάνεια (Ἰαν. 6)
ἦχος πλ. δ'.

Σήμερον ἡ κτίσις φωτίζεται·
σήμερον τὰ πάντα εὐφραίνεται,
τὰ οὐράνια ἅμα καὶ τὰ ἐπίγεια·
ἄγγελοι καὶ ἄνθρωποι συμμίγνυνται·
ὅπου γὰρ βασιλέως παρουσία,
καὶ ἡ τάξις παραγίνεται·
δράμωμεν τοίνυν ἐπὶ τὸν Ἰορδάνην·
ἴδωμεν πάντες τὸν Ἰωάννην,
πῶς βαπτίζει | κορυφὴν ἀχειροποίητον
καὶ ἀναμάρτητον·
διὸ ἀποστολικὴν φωνὴν προσάγοντες
συμφώνως βοήσωμεν·
ἐπεφάνη ἡ χάρις τοῦ θεοῦ,
ἡ σωτήριος πᾶσιν ἀνθρώποις,
καταυγάζουσα | καὶ παρέχουσα πιστοῖς τὸ μέγα ἔλεος.

η'. Ἰδιόμελον εἰς τὸ γενέθλιον Ἰωάννου τοῦ Βαπτιστοῦ (Ἰουν. 24)
ἦχος δ'.

Θεοῦ λόγου μέλλοντος
ἐκ παρθένου τίκτεσθαι,
ἄγγελος ἐκ πρεσβυτικῶν ὠδίνων
προέδραμεν,
ὁ μέγας ἐν γεννητοῖς γυναικῶν
καὶ προφήτου περισσότερος·
ἔδει γὰρ θείων πραγμάτων
παραδόξους εἶναι τὰς ἀρχάς,
παρ' ἡλικίαν τὸ γόνιμον
καὶ ἄνευ σπορᾶς σύλληψιν·
ὁ ποιῶν θαυμάσια εἰς σωτηρίαν τῶν
ψυχῶν ἡμῶν.

θ'. Ἰδιόμελον εἰς τὴν Μαρίαν Μαγδαληνήν (Ἰουλ. 26)
ἦχος πλ. β'.

Πρώτη κατιδοῦσα τὴν θείαν ἀνάστασιν
Μαρία Μαγδαληνὴ | τοῦ πρώτου τῶν ἀγαθῶν αἰτίου,
τοῦ τὴν ἡμετέραν εὐσπλάγχνως φύσιν θεώσαντος,
πρώτη καὶ εὐαγγελίστρια ἐδείχθης βοῶσα | τοῖς ἀποστόλοις·
τὴν ἀθυμίαν ἀποθέμενοι, | τὴν εὐθυμίαν ἀναλάβετε,
καὶ δεῦτε κατοπτεύσατε Χριστὸν | ἐξαναστάντα
καὶ κόσμῳ παρέχοντα τὸ μέγα ἔλεος.

ϛ' v. 2 Joel 2, 30 — ἃ uncinis inclusimus — ζ'. Nomen melodi deest in E — v. 2 εὐφραίνονται Barth. — 11 προσᾴδοντες Barth — η'. Nomen melodi deest in E — 2 στειρωτικῶν ὠδίνων προέρχεται Barth. — 8 σύλληψις Barth. — 9 σωτηρίαν ἡμῶν, δόξα σοι Barth. — θ'. Nomen melodi deest in E — 2 ἡ Μαγδαλ. Barth. — 7 κόσμου E

ι΄. Ἰδιόμελον εἰς τὸν πρωτομάρτυρα Στέφανον (Δεκ. 27)
ἦχος β΄.

Τῷ βαcιλεῖ καὶ δεcπότῃ τοῦ παντὸc
τεχθέντι ἐπὶ γῆc | Στέφανοc ὑπέρλαμπροc προcφέρεται,
οὐκ ἐκ λίθων τιμίων κατεcκευαcμένοc,
ἀλλ᾽ ἐξ οἰκείων αἱμάτων διηνθιcμένοc·
ἀλλ᾽, ὦ φιλομάρτυρεc, δεῦτε
τὰ τῶν ᾀcμάτων | ἄνθη δρεψάμενοι
τὰc κεφαλὰc ἀναδηcώμεθα
καὶ τοῖc ὕμνοιc ἀναμέλποντεc εἴπωμεν·
ὁ cοφίᾳ καταγλαϊcθεὶc | καὶ χάριτι τὴν ψυχήν,
πρωτομάρτυc Χριcτοῦ τοῦ θεοῦ,
αἴτηcαι ἡμῖν εἰρήνην | καὶ τὸ μέγα ἔλεοc.

ΙΩΑΝΝΟΥ ΤΟΥ ΔΑΜΑΣΚΗΝΟΥ

Στιχηρὰ ἀναcτάcιμα ἐν τῷ ἑcπερινῷ τοῦ cαββάτου ψαλλόμενα.
α΄. ἦχος α΄.

Τὰc ἑcπερινὰc ἡμῶν εὐχὰc
πρόcδεξαι, ἅγιε, κύριε,
καὶ παράcχου ἡμῖν
ἄφεcιν ἁμαρτιῶν,
ὅτι μόνοc εἶ ὁ δείξαc
ἐν κόcμῳ τὴν ἀνάcταcιν.

Κυκλώcατε, λαοί, Σιὼν
καὶ περιλάβετε αὐτήν,
καὶ δότε δόξαν ἐν αὐτῇ
τῷ ἀναcτάντι ἐκ νεκρῶν,
ὅτι αὐτόc ἐcτιν ὁ θεὸc ἡμῶν,
ὁ λυτρωcάμενοc ἡμᾶc
ἐκ τῶν ἀνομιῶν ἡμῶν.

Δεῦτε, λαοί, ὑμνήcωμεν
καὶ προcκυνήcωμεν Χριcτόν,
δοξάζοντεc αὐτοῦ
τὴν ἐκ νεκρῶν ἀνάcταcιν,
ὅτι αὐτόc ἐcτιν ὁ θεὸc ἡμῶν,
ὁ ἐκ τῆc πλάνηc τοῦ ἐχθροῦ
τὸν κόcμον λυτρωcάμενοc.

θεοτοκίον.

Τὴν παγκόcμιον δόξαν, | τὴν ἐξ ἀνθρώπων cπαρεῖcαν
καὶ τὸν δεcπότην τεκοῦcαν, | τὴν ἐπουράνιον πύλην
ὑμνήcωμεν Μαρίαν τὴν παρθένον,
τῶν ἀcωμάτων τὸ ᾆcμα
καὶ τῶν πιcτῶν τὸ ἐγκαλλώπιcμα·
αὕτη γὰρ ἀνεδείχθη
οὐρανὸc | καὶ ναὸc τῆc θεότητοc·

ι΄. Nomen melodi deest in E — α΄. Nomen Ioannis Damasceni et hic et infra deest in D, quandoquidem tota Octoechus ad Ioannem Damascenum auctorem referebatur

αὕτη τὸ μεcότοιχον τῆc ἔχθραc καθελοῦcα
  εἰρήνην ἀντειcῆξε | καὶ τὸ βαcίλειον ἠνέῳξε·
ταύτην οὖν κατέχοντεc | τῆc πίcτεωc τὴν ἄγκυραν
  ὑπέρμαχον ἔχομεν | τὸν ἐξ αὐτῆc τεχθέντα κύριον·
θαρcεῖτε τοίνυν, θαρcεῖτε, λαὸc τοῦ θεοῦ·
καὶ γὰρ αὐτὸc πολεμήcει | τοὺc ἐχθροὺc ὡc φιλάνθρωποc.

β΄. ἦχοc δ΄.

Τὸν ζωοποιόν cου cταυρὸν
  ἀπαύcτωc προcκυνοῦντεc, Χριcτὲ ὁ θεὸc,
  τὴν τριήμερόν cου ἀνάcταcιν δοξάζομεν·
δι᾽ αὐτῆc γὰρ ἀνεκαίνιcαc
  τὴν καταφθαρεῖcαν τῶν ἀνθρώπων
  φύcιν, παντοδύναμε,
καὶ τὴν εἰc οὐρανοὺc ἄνοδον
  καθυπέδειξαc ἡμῖν,
ὡc μόνοc ἀγαθὸc καὶ φιλάνθρωποc.

Τοῦ ξύλου τῆc παρακοῆc
  τὸ ἐπιτίμιον ἔλυcαc, cωτήρ·
τῷ ξύλῳ τοῦ cταυροῦ | ἑκουcίωc προcηλωθεὶc
καὶ εἰc ᾅδου κατελθὼν, δυνατὲ,
  τοῦ θανάτου τὰ δεcμὰ | ὡc θεὸc διέρρηξαc·
διὸ προcκυνοῦμεν | τὴν ἐκ νεκρῶν cου ἀνάcταcιν,
  ἐν ἀγαλλιάcει βοῶντεc·
παντοδύναμε κύριε, δόξα coι.

Πύλαc ᾅδου cυνέτριψαc, κύριε,
  καὶ τῷ cῷ θανάτῳ | τοῦ θανάτου τὸ βαcίλειον ἔλυcαc·
γένοc δὲ τὸ ἀνθρώπινον | ἐκ φθορᾶc ἠλευθέρωcαc,
ζωὴν καὶ ἀφθαρcίαν | τῷ κόcμῳ δωρηcάμενοc
  καὶ τὸ μέγα ἔλεοc.

θεοτοκίον.

Ὁ διὰ cὲ θεοπάτωρ προφήτηc Δαυῒδ
  μελῳδικῶc περὶ cοῦ προανεφώνηcε
    τῷ μεγαλεῖά coι ποιήcαντι·
παρέcτη ἡ βαcίλιccα ἐκ δεξιῶν cου·
cὲ γὰρ μητέρα πρόξενον ζωῆc ἀνέδειξεν
  ὁ ἀπάτωρ, ἐκ cοῦ | ἐνανθρωπῆcαι εὐδοκήcαc θεὸc,
ἵνα τὴν ἑαυτοῦ ἀναπλάcῃ εἰκόνα

28 ταύτηc D — 30 θαρcείτω τοίνου θαρcείτω Oct. — 31 ὡc παντοδύναμοc Oct. — β΄ v. 2 ὁ θεόc om. D — 8 ἀνεκαίνιcαc ἡμῖν D — 23 ὁ διὰ cέ DE Oct., sed D in margine adscriptum habet γρ. ὁ διὰ cοῦ

φθαρεῖcαν τοῖc πάθεcι,
καὶ τὸ πλανηθὲν ὀρειάλητον εὑρὼν
πρόβατον, τοῖc ὤμοιc ἀναλαβὼν
τῷ πατρὶ προcαγάγῃ,
καὶ τῷ ἰδίῳ θελήματι
ταῖc οὐρανίαιc cυνάψῃ δυνάμεcι,
καὶ cώcῃ, θεοτόκε, τὸν κόcμον
Χριcτὸc ὁ ἔχων τὸ μέγα καὶ πλούcιον ἔλεοc.

γ΄. ἦχοc πλ. α΄.

Διὰ τοῦ τιμίου cου cταυροῦ, Χριcτέ,
διάβολον ᾔcχυναc,
καὶ διὰ τῆc ἀναcτάcεώc cου
τὸ κέντρον τῆc ἁμαρτίαc ἤμβλυναc
καὶ ἔcωcαc ἡμᾶc | ἐκ τῶν πυλῶν τοῦ θανάτου·
δοξάζομέν cε, μονογενέc.

Ὁ τὴν ἀνάcταcιν διδοὺc | τῷ γένει τῶν ἀνθρώπων
ὡc πρόβατον ἐπὶ cφαγὴν ἤχθη·
ἔφριξαν τοῦτον | οἱ ἄρχοντεc τοῦ ᾅδου,
καὶ ἐπήρθηcαν πύλαι ὀδυνηραί·
εἰcελήλυθε γὰρ | ὁ βαcιλεὺc τῆc δόξηc Χριcτόc,
λέγων τοῖc ἐν δεcμοῖc· ἐξέλθετε,
καὶ τοῖc ἐν τῷ cκότει· ἀνακαλύπτεcθε.

Μέγα θαῦμα! ὁ τῶν ἀοράτων κτίcτηc,
διὰ φιλανθρωπίαν | cαρκὶ παθών,
ἀνέcτη ὁ ἀθάνατοc·
δεῦτε, πατριαὶ τῶν ἐθνῶν,
τοῦτον προcκυνήcωμεν·
τῇ γὰρ αὐτοῦ εὐcπλαγχνίᾳ
ἐκ πλάνηc ῥυcθέντεc
ἐν τριcὶν ὑποcτάcεcιν | ἕνα θεὸν ὑμνεῖν μεμαθήκαμεν.

θεοτοκίον.

Ἐν τῇ ἐρυθρᾷ θαλάccῃ | τῆc ἀπειρογάμου νύμφηc
εἰκὼν διεγράφη ποτέ·
ἐκεῖ Μωϋcῆc | διαιρέτηc τοῦ ὕδατοc,
ἐνθάδε Γαβριὴλ | ὑπηρέτηc τοῦ θαύματοc·
τότε τὸν βυθὸν ἐπέζευcεν | ἀβρόχωc Ἰcραήλ,
νῦν δὲ τὸν Χριcτὸν ἐγέννηcεν | ἀcπόρωc ἡ παρθένοc·
ἡ θάλαccα | μετὰ τὴν πάροδον τοῦ Ἰcραὴλ
ἔμεινεν ἄβατοc·

---

31 ὀρειάλωτον Oct.

ἡ ἄμεμπτος | μετὰ τὴν κύησιν τοῦ Ἐμμανουὴλ
ἔμεινεν ἄφθορος·
ὁ ὢν καὶ προὼν | καὶ φανεὶς ὡς ἄνθρωπος θεός,
ἐλέησον ἡμᾶς.

δʹ. Ἰδιόμελον εἰς τὴν Ὑπαπαντὴν τοῦ Χριστοῦ (Φεβ. 2)
ἦχος πλ. βʹ.

Ἀνοιγέσθω ἡ πύλη τοῦ οὐρανοῦ σήμερον·
ὁ γὰρ ἄναρχος λόγος τοῦ πατρός,
ἀρχὴν λαβὼν χρονικήν, | μὴ ἐκστὰς τῆς αὐτοῦ θεότητος,
ὑπὸ παρθένου ὡς βρέφος τεσσαρακονθήμερον
μητρὸς ἑκὼν προσφέρεται | ἐν ναῷ τῷ νομικῷ·
καὶ τοῦτον ἀγκάλαις εἰσδέχεται ὁ πρέσβυς,
ἀπόλυσον, κράζων, τὸν δοῦλον ὁ δεσπότης·
οἱ γὰρ ὀφθαλμοί μου | εἶδον τὸ σωτήριόν σου·
ὁ ἐλθὼν εἰς τὸν κόσμον | σῶσαι γένος ἀνθρώπων·
κύριε, δόξα σοι.

εʹ. Ἰδιόμελον εἰς τὸν ἀρχάγγελον Γαβριήλ (Μαρτ. 26)
ἦχος πλ. βʹ.

Ἀπεστάλη ἐξ οὐρανοῦ | Γαβριὴλ ὁ ἀρχάγγελος,
εὐαγγελίσασθαι | τῇ παρθένῳ τὴν σύλληψιν·
καὶ ἐλθὼν εἰς Ναζαρὲτ | ἐλογίζετο ἐν ἑαυτῷ
τὸ θαῦμα ἐκπληττόμενος,
ὅτι πῶς | ὁ ἐν ὑψίστοις ἀκατάληπτος ὢν
ἐκ παρθένου τίκτεται!
ὁ ἔχων θρόνον τὸν οὐρανὸν | καὶ ὑποπόδιον τὴν γῆν
ἐν μήτρᾳ χωρεῖται γυναικός!
ᾧ τὰ ἑξαπτέρυγα καὶ πολυόμματα
ἀτενίσαι οὐ δύνανται,
λόγῳ μόνῳ, | ἐκ ταύτης σαρκωθῆναι ηὐδόκησε·
θεοῦ ἐστι λόγος ὁ παρών·
τί οὖν ἵσταμαι | καὶ οὐ λέγω τῇ κόρῃ;
χαῖρε, κεχαριτωμένη· | ὁ κύριος μετὰ σοῦ·
χαῖρε, ἁγνὴ παρθένε· | χαῖρε, νύμφη ἀνύμφευτε·
χαῖρε, μήτηρ τῆς ζωῆς· | εὐλογημένος ὁ καρπὸς τῆς κοιλίας σου.

ϛʹ. Ἰδιόμελον εἰς τὸν μάρτυρα Γεώργιον (Ἀπριλ. 23)
ἦχος βʹ.

Νευέτω δίκαια, | ἔφησεν ὁ Σολομών,
τοῖς βροτοῖς τὰ βλέφαρα·

δʹ. v. 7 ὁ δοῦλος τῷ δεσπότῃ Barth. — εʹ. Ἰωάννου μοναχοῦ E — 7 τὸν om. Barth. — ϛʹ. Ἰωάννου μοναχοῦ τοῦ Δαμασκηνοῦ E — v. 1 Paroim. X 10

ἐλεηθήσεται γὰρ παρὰ Χριστοῦ τοῦ θεοῦ
ὁ βλέπων λεῖα, προηγόρευσεν·
εὐμαρῶς δὲ ταῦτα ἐνωτισθεὶς,
ὦ πολύτλα Γεώργιε,
τοῦ δεσπότου ταῖς διδαχαῖς ἠκολούθησας,
καὶ ἀνόμοις ἐκδοθεὶς ἐκαρτέρησας,
τῆς πλάνης τὰ ὄργια | καταπτύσας ὡς βέβηλα·
τὸ σῶμα γάρ, ὃ παρέδωκας | ὑπὲρ ἀγάπης τοῦ κτίσαντος,
ὅλον μεληδὸν κατετέμνετο·
καὶ ὁ Βελίαρ μᾶλλον | ὅλος αἰσχυνθεὶς ἐτιτρώσκετο,
στεφηφόρον σε ὁρῶν ἀκμαιότατον·
ὅθεν ἐν αὐλαῖς οἴκων τοῦ κυρίου σου
σὺν ταῖς ἄνω δυνάμεσι
πρέσβευε, ἀθλοφόρε, Χριστῷ
σωθῆναι τὰς ψυχὰς ἡμῶν.

ΘΕΟΦΑΝΟΥΣ

α'. Ἰδιόμελον εἰς Κοσμᾶν καὶ Δαμιανὸν (Νοεμ. 1)
ἦχος δ'.

Πηγὴν ἰαμάτων ἔχοντες, | ἅγιοι ἀνάργυροι,
τὰς ἰάσεις παρέχετε | πᾶσι τοῖς δεομένοις,
ὡς μεγίστων δωρεῶν ἀξιωθέντες
παρὰ τῆς ἀεννάου πηγῆς | τοῦ σωτῆρος Χριστοῦ·
φησὶ γὰρ πρὸς ὑμᾶς ὁ κύριος
ὡς ὁμοζήλους τῶν ἀποστόλων·
Ἰδοὺ | δέδωκα ὑμῖν τὴν ἐξουσίαν
κατὰ πνευμάτων ἀκαθάρτων,
ὥστε αὐτὰ ἐκβάλλειν | καὶ θεραπεύειν
πᾶσαν νόσον | καὶ πᾶσαν μαλακίαν·
διὸ τοῖς προστάγμασιν | αὐτοῦ καλῶς πολιτευσάμενοι
δωρεὰν ἐλάβετε, | δωρεὰν παρέχετε,
ἰατρεύοντες τὰ πάθη
τῶν ψυχῶν καὶ τῶν σωμάτων ἡμῶν.

β'. Ἰδιόμελον εἰς τὸν Εὐαγγελισμὸν τῆς θεοτόκου (Μαρτ. 25)
ἦχος β'.

Τὸ ἀπ' αἰῶνος μυστήριον
ἀνακαλύπτεται σήμερον·

---

3 Paroim. XII 13 — 7 ταῖς om. E — 10 γὰρ δοὺς E — 14 ἐν om. E — 16 Χριστοῦ E
α'. Θεοφάνους καὶ Ἀνατολίου E — 7 Matth. X 1. Marc. VI 7. Luc. IX 1 — β'. Nomen melodi deest in E

καὶ ὁ υἱὸc τοῦ θεοῦ | υἱὸc ἀνθρώπου γίνεται,
ἵνα τοῦ χείρονοc μεταλαβὼν
μεταδῷ μοι τοῦ βελτίονοc·
ἐψεύcθη πάλαι Ἀδὰμ
καὶ θεὸc ἐπιθυμήcαc | οὐ γέγονεν·
ἄνθρωποc γίνεται θεόc,
ἵνα θεὸν τὸν Ἀδὰμ ἀπεργάcηται·
εὐφραινέcθω ἡ κτίcιc, | χορευέτω ἡ φύcιc,
ὅτι ἀρχάγγελοc παρθένῳ
μετὰ δέουc παρίcταται,
καὶ τὸ χαῖρε κομίζει | τῆc λύπηc ἀντίθετον·
ὁ διὰ cπλάγχνα ἐλέουc ἐνανθρωπήcαc
θεὸc ἡμῶν, δόξα cοι.

γʹ. Ἰδιόμελον εἰc τὴν Κοίμηcιν τῆc θεοτόκου (Αὐγ. 15)
ἦχοc πλ. αʹ.

Δεῦτε, φιλεόρτων τὸ cύcτημα,
δεῦτε καὶ χορείαν cτηcώμεθα·
δεῦτε καταcτέψωμεν | ᾄcμαcι τὴν ἐκκληcίαν
τῇ καταπαύcει | τῆc κιβωτοῦ τοῦ θεοῦ·
cήμερον γὰρ οὐρανὸc | ὑφαπλοῖ τοὺc κόλπουc,
δεχόμενοc τὴν τετοκυῖαν | τὸν ἐν πᾶcι μὴ χωρούμενον·
καὶ ἡ γῆ, τὴν πηγὴν τῆc ζωῆc
ἀποδιδοῦcα, τὴν εὐλογίαν cτολίζεται καὶ εὐπρέπειαν·
ἄγγελοι χοροcτατοῦcι | cὺν ἀποcτόλοιc,
περιδεῶc ἐνατενίζοντεc
ἐκ ζωῆc εἰc ζωὴν μεθιcταμένηc
τῆc τεκούcηc τὸν ἀρχηγὸν τῆc ζωῆc·
πάντεc προcκυνήcωμεν | αὐτὴν δεόμενοι·
cυγγενοῦc οἰκειότητοc | μὴ ἐπιλάθῃ, δέcποινα,
τῶν πιcτῶc ἑορταζόντων | τὴν παναγίαν cου κοίμηcιν.

δʹ. Cτιχηρὰ νεκρώcιμα κατὰ τοὺc ὀκτὼ ἤχουc.

Ἡ ἀκροcτιχίc: Coὺc, Χριcτέ, δούλουc γράψον ἐν ζώντων βίβλῳ.

ἦχοc αʹ. κατὰ τὸ «Πανεύφημοι μάρτυρεc ἡμᾶc.»

Coῦ, cῶτερ, δεόμεθα, | τῆc cῆc
γλυκείαc μεθέξεωc
τοὺc μεταcτάνταc ἀξίωcον
καὶ καταcκήνωcον

v. 3 θεοῦ καὶ υἱόc E — 13 χαῖρε χορεύει E — γʹ. Nomen melodi deest in E — v. 5 ἐφαπλοῖ Barth. — 6 τεξαμένην E — 8 cτολίζεται τὴν εὐπρ. E — 11 μεθιcταμένην τὴν τεκοῦcαν E — 14 οἰκειώcεωc E — δʹ. Cod. D: Τὰ προcόμοια τῶν ὀκτὼ ἤχων τὰ νεκρώcιμα, ὧν ἡ ἀκρ. cui titulo in margine eiusdem codicis manu recentiore addita sunt haec: ταῦτα ψάλλεται εἰc τοὺc αἴνουc ἀπὸ cτίχου. Ed. Ven. Triodii a. 1869: Ἀπόcτιχα τὰ ἑπόμενα Προcόμοια Νεκρώcιμα, ποίημα Θεοφάνουc, ὧν καὶ τῶν εἰc τοὺc λοιποὺc ἤχουc ἐν τοῖc ἄλλοιc cάββαcι τοιούτων Προcομοίων ὁμοῦ ἡ ἀκρ. et paulo supra: κατ᾽ ἦχον ψαλλόμενα καθ᾽ ὅλην τὴν ἁγίαν καὶ μεγάλην Τεccαρακοcτήν. — v. 3 ἀνάπαυcον Triod.

ἐν σκηναῖς ἁγίων, | ἐν μοναῖς δικαίων σου,
ἐν τοῖς ἐπουρανίοις σκηνώμασι,
τῇ εὐσπλαγχνίᾳ σου
παρορῶν τὰ παραπτώματα
καὶ παρέχων | αὐτοῖς τὴν συγχώρησιν.

Οὐδεὶς ἀναμάρτητος, | οὐδεὶς
τῶν ἀνθρώπων γέγονεν,
εἰ μὴ σύ, μόνε ἀθάνατε·
διὸ τοὺς δούλους σου,
ὡς θεὸς οἰκτίρμων, ἐν φωτὶ κατάταξον
σὺν ταῖς χοροστασίαις ἀγγέλων σου,
τῇ εὐσπλαγχνίᾳ σου
ὑπερβαίνων ἀνομήματα
καὶ παρέχων | αὐτοῖς τὴν ἀνάπαυσιν.

Ὑπὲρ τὰ ὁρώμενα | τὰ σά,
σῶτερ, ἐπαγγέλματα,
ἃ ὀφθαλμὸς οὐ τεθέαται
καὶ οὖς οὐκ ἤκουσε
καὶ ἐπὶ καρδίαν | οὐκ ἀνέβη πώποτε,
ὧν τῆς προσηνεστάτης μεθέξεως
τυχεῖν εὐδόκησον
τοὺς πρὸς σὲ μεταχωρήσαντας
καὶ παράσχου | ζωὴν τὴν αἰώνιον.

Σταυρῷ σου γηθόμενοι, | σταυρῷ
θαρροῦντες οἱ δοῦλοί σου
πρὸς σὲ μετέστησαν, κύριε,
οἷς νῦν ἀντίλυτρον
τῶν δεινῶν πταισμάτων | τὸν σταυρόν σου δώρησαι
καὶ αἷμα τὸ χυθὲν ὑπὲρ κόσμου ζωῆς,
τῇ εὐσπλαγχνίᾳ σου
συγχωρῶν τὰ πλημμελήματα
καὶ φωτίζων | φωτὶ τοῦ προσώπου σου.

Χριστὸν ἐκδυσώπησον, | τὸν σὸν
τόκον, μητροπάρθενε,
τὴν τῶν πταισμάτων συγχώρησιν
δοῦναι τοῖς δούλοις σου,
τοῖς σὲ θεοτόκον | εὐσεβῶς κηρύξασι
καὶ λόγῳ ἀληθεῖ δογματίσασι,
καὶ τῆς λαμπρότητος
τῶν ἁγίων καὶ φαιδρότητος
ἀξιῶσαι | ἐν τῇ βασιλείᾳ σου.

ἦχος β'.
κατὰ τὸ «Ὅτε ἐκ τοῦ ξύλου σε νεκρόν.»

Ῥύμην τοῦ θανάτου καὶ φθορὰν
σοῦ τῷ ζωηφόρῳ θανάτῳ | καθεῖλες, δέσποτα,
πᾶσι δὲ ἐπήγασας | ζωὴν αἰώνιον,
καὶ νεκρῶν ἐξανάστασιν | θνητοῖς ἐδωρήσω·
ὅθεν σου δεόμεθα, | σῶτερ, ἀνάπαυσον
πίστει τοὺς πρὸς σὲ μεταστάντας
καὶ τοῦ γλυκασμοῦ τοῦ σοῦ κάλλους
τούτους καταξίωσον, φιλάνθρωπε.

Ἵνα τοὺς ἀνθρώπους κοινωνοὺς
θείας βασιλείας ἐργάσῃ, | σταυρὸν ὑπέμεινας,
θάνατον ἑκούσιον | καταδεξάμενος·
ἀλλὰ νῦν σου δεόμεθα, τῇ σῇ εὐπλαγχνίᾳ
μετόχους ἀνάδειξον | τῆς βασιλείας σου.

5 δικαίων ἐν μοναῖς ἁγίων Triod. — 9 τὴν ἀνάπαυσιν Triod. — 18 τὴν συγχώρησιν Triod. — 23 ἀνέβη δέσποτα D — 32 τῶν αὐτῶν Triod. — II 4 νεκροῖς Triod. — 7 καὶ τῆς ἀκηράτου σου δόξης Triod. — 12 διὰ τοῦτο δεόμεθα Triod.

πίϲτει τοὺϲ πρὸϲ ϲὲ μεταϲτάνταϲ,
καὶ τῆϲ ἀθανάτου ϲου δόξηϲ
τούτουϲ καταξίωϲον, φιλάνθρωπε.

Ϲῶϲαι τὸ ϲὸν πλάϲμα βουληθεὶϲ,
τῆϲ οἰκονομίαϲ τὸ ὄντωϲ | βαθὺ μυϲτήριον
θέλων ἐξετέλεϲαϲ | ὡϲ ὑπεράγαθοϲ,
καὶ τιμῆϲ ἐξηγόραϲαϲ | τὸν ϲύμπαντα κόϲμον
αἵματι τιμίῳ ϲου· | διὸ δεόμεθα,
πίϲτει τοὺϲ πρὸϲ ϲὲ μεταϲτάνταϲ
μετὰ τῶν ἁγίων ἁπάντων
τῆϲ ἀπολυτρώϲεωϲ ἀξίωϲον.

Τρόμῳ τῷ φρικτῷ καὶ φοβερῷ
βήματι τῷ ϲῷ παρεϲτῶτεϲ | οἱ ἀπ᾿ αἰῶνοϲ νεκροὶ
ψῆφον ἀναμένουϲι | τὴν ϲὴν δικαίαν, ϲωτὴρ,
καὶ τὴν θείαν ἐκδέχονται | δικαιοκριϲίαν·
τότε φεῖϲαι, δέϲποτα | Χριϲτὲ, τῶν δούλων ϲου·
πίϲτει τοὺϲ πρὸϲ ϲὲ μεταϲτάνταϲ
καὶ τῆϲ ἀϊδίου τρυφῆϲ ϲου
καὶ μακαριότητοϲ ἀξίωϲον.

Εὔαϲ τῆϲ προμήτοροϲ, ἁγνὴ,
ϲὺ τὴν ὀφειλὴν ϲυλλαβοῦϲα, | Χριϲτὸν ἀπῄτηϲαϲ,
τὸν τὴν ἀφθαρϲίαν τε | καὶ τὴν ἀνάϲταϲιν
τοῖϲ πιϲτοῖϲ χαριζόμενον | καὶ τῇ ἀθανάτῳ
δόξῃ καταϲτέφοντα | τοὺϲ ϲὲ δοξάζονταϲ·
ὃν νῦν δυϲωποῦϲα μὴ παύϲῃ,
τούτουϲ ἐν φωτὶ κατατάξαι
τῆϲ αὐτοῦ λαμπρότητοϲ, θεόνυμφε.

ἦχοϲ γʹ.
κατὰ τὸ «Τῷ τύπῳ τοῦ ϲταυροῦ.»

Δοξάζω τὸν ϲταυρόν ϲου τὸν τίμιον,
δι᾿ οὗ ζωὴ δεδώρηται | καὶ τρυφῆϲ ἡ ἀπόλαυϲιϲ
τοῖϲ ἐν πίϲτει καὶ πόθῳ ϲε ὑμνοῦϲι, | μόνε πολυέλεε·
διὸ βοῶμέν ϲοι, Χριϲτὲ ὁ θεόϲ·
τοὺϲ μεταϲτάνταϲ ἐξ ἡμῶν ἀνάπαυϲον,
ἔνθα πάντων ἐϲτὶν | εὐφραινομένων ἡ κατοικία ἐν ϲοί.

15 ἀϊδίου Triod. — 16 καὶ μακαριότητοϲ ἀξίωϲον Triod. — 19 χαίρων Triod. — 21 αἵματοϲ τιμίου D — 23 καὶ τοῦ γλυκυτάτου ϲου κάλλουϲ· τούτουϲ καταξίωϲον φιλάνθρωπε Triod. — 29 ϲῶτερ Triod. — 30 τῶν .... μεταϲτάντων D — 34 θεόν Triod. — 36 χαριϲάμενον D — 37 ϲτεφανώϲαντα Triod.

Ὁ μόνοϲ ἐλεήμων καὶ εὔϲπλαγχνοϲ,
ὁ ἔχων ἀκατάληπτον | ἀγαθότητοϲ πέλαγοϲ,
ὁ γινώϲκων τὴν φύϲιν τῶν ἀνθρώπων, | ἣν ἐδημιούργηϲαϲ,
ϲὲ ἱκετεύομεν, Χριϲτὲ ὁ θεόϲ·
τοὺϲ μεταϲτάνταϲ ἐξ ἡμῶν ἀνάπαυϲον,
ἔνθα πάντων ἐϲτὶν | εὐφραινομένων ἡ κατοικία ἐν ϲοί.

Ὑπνώϲαϲ ἐν τῷ τάφῳ ὡϲ ἄνθρωποϲ,
δυνάμει ἀηττήτῳ ϲου | ὡϲ θεὸϲ ἐξανέϲτηϲαϲ
τοὺϲ ἐν τάφοιϲ ὑπνοῦνταϲ, ἀϲιγήτωϲ | ὕμνον ϲοι προϲφέρονταϲ·
διὸ βοῶμέν ϲοι, Χριϲτὲ ὁ θεόϲ·
τοὺϲ μεταϲτάνταϲ ἐξ ἡμῶν ἀνάπαυϲον,
ἔνθα πάντων ἐϲτὶν | εὐφραινομένων ἡ κατοικία ἐν ϲοί.

Λαμπάδα νοητήν ϲε, βαϲτάζουϲαν
τὸ φέγγοϲ τῆϲ θεότητοϲ | ὁμιλῆϲαν παχύτητι
τῆϲ ἀνθρώπων οὐϲίαϲ, θεοτόκε, | πάντεϲ ἐπιϲτάμεθα·
τὸν ϲὸν δυϲώπηϲον υἱὸν καὶ θεὸν,
τοὺϲ μεταϲτάνταϲ ἐξ ἡμῶν ἀνάπαυϲον,
ἔνθα πάντων ἐϲτὶν | εὐφραινομένων ἡ κατοικία ἐν ϲοί.

ἦχοϲ δ'.

κατὰ τὸ «Ἔδωκαϲ ϲημείωϲιν.»

Ὄντωϲ φοβερώτατον | τὸ τοῦ θανάτου μυϲτήριον!
πῶϲ ψυχὴ ἐκ τοῦ ϲώματοϲ
βιαίωϲ χωρίζεται | ἐκ τῆϲ ἁρμονίαϲ,
καὶ τῆϲ ϲυμφυΐαϲ | ὁ φυϲικώτατοϲ δεϲμὸϲ
θείῳ βουλήματι ἀποτέμνεται;
διό ϲε ἱκετεύομεν· | τοὺϲ μεταϲτάνταϲ ἀνάπαυϲον
ἐν ϲκηναῖϲ τῶν δικαίων ϲου, | ζωοδότα φιλάνθρωπε.

Ὕπνοϲ ἀναδέδεικται | τῶν πιϲτευόντων ὁ θάνατοϲ,
ϲοῦ τεθέντοϲ ἐν μνήματι,
τοῦ πάντων δεϲπόζοντοϲ | καὶ τὸ τοῦ θανάτου
κράτοϲ λελυκότοϲ | καὶ καταργήϲαντοϲ αὐτοῦ
τὴν δυναϲτείαν τὴν πολυχρόνιον·
διό ϲε ἱκετεύομεν· τοὺϲ μεταϲτάνταϲ ἀνάπαυϲον
ἐν ϲκηναῖϲ τῶν δικαίων ϲου, | ζωοδότα φιλάνθρωπε.

Ϲὺ δικαιοϲύνη τε | καὶ φωτιϲμὸϲ ἡμῖν γέγοναϲ
καὶ ψυχῶν ἀπολύτρωϲιϲ·

III v. 11. 17. 23 ἐν τρυφῇ ἀνάπαυϲον D — 14 ἐξανάϲτηϲον D — 15 τάφῳ ὑμνοῦνταϲ Triod. — 21 τῆϲ τῶν D — 23 ἀναπαῦϲαι Triod. — IV 6 διὸ ϲῶτερ τοὺϲ δούλουϲ ϲου D — 7. 14 ἁγίων Triod. — 12 πολυμήχανον D — 15 τε ἁγιαϲμόϲ Triod.

πατρὶ γὰρ προcήγαγεc | δεδικαιωμένουc
καὶ λελυτρωμένουc, | ἀναδεξάμενοc ἡμῶν
τὸ ὀφειλόμενον ἐπιτίμιον·
καὶ νῦν ἐκδυcωποῦμέν cε· τοὺc μεταcτάνταc ἀνάπαυcον
ἐν χαρᾷ καὶ φαιδρότητι, | εὐεργέτα cωτὴρ ἡμῶν.

Γένοc τὸ ἀνθρώπινον | πρὸc ἀφθαρcίαν ἀνώλεθρον
ἐκ φθορᾶc ἀνακέκληται,
λουcάμενον αἵματι | τῷ ἐκ τῆc πλευρᾶc cου,
cῶτερ, κενωθέντι, | ἐν ᾧ ἀπέπλυναc ἡμᾶc
τῆc παραβάcεωc τοῦ προπάτοροc·
διό cε ἱκετεύομεν· τοὺc μεταcτάνταc ἀνάπαυcον
ἐν μοναῖc αἰωνίοιc cου, | ἐν χοροῖc τῶν μαρτύρων cου.

Ῥήcεcιν ἑπόμενοι | τῶν θεηγόρων, πανάμωμε,
θεοτόκον φρονοῦμέν cε·
θεὸν γὰρ ἐγέννηcαc | cεcωματωμένον
ἀπερινοήτωc, | τὸν λυτρωcάμενον ἡμᾶc
τοὺc αἰχμαλώτουc τοῖc παραπτώμαcιν·
ὃν καὶ νῦν ἐκδυcώπηcον, | τοὺc μεταcτάνταc οἰκέταc cου
ταῖc οἰκείαιc ἐλλάμψεcι | καταυγάcαι, φιλάγαθε.

ἦχοc πλ. α′.
κατὰ τὸ «Χαίροιc ἀcκητικῶν ἀληθῶc.»

Αἴγλῃ τοῦ cοῦ προcώπου, Χριcτέ,
τοὺc μεταcτάνταc | ὡc οἰκτίρμων κατάταξον,
cκηνώcαc | εἰc τόπον χλόηc, | ἐπὶ ὑδάτων τῆc cῆc
ἀκραιφνοῦc καὶ θείαc | ἀναπαύcεωc,
ἐν τοῖc ὀρεκτοῖc κόλποιc | Ἀβραὰμ τοῦ προπάτοροc,
ἔνθα τὸ φῶc cου | καθαρὸν ἐπιφαίνεται
καὶ προχέουcιν | αἱ πηγαὶ τῆc χρηcτότητοc,
ἔνθα περιχορεύουcι | τρανῶc ἀγαλλόμεναι
αἱ τῶν δικαίων χορεῖαι | περὶ τὴν cὴν ἀγαθότητα,
μεθ᾽ ὧν κατατάξαι
τοὺc ἱκέταc cου παράcχου | ὡc μόνοc εὔcπλαγχνοc.

Ψάλλειν παναρμονίῳ φωνῇ
δοξολογοῦνταc | τὸ cὸν κράτοc εὐόδηcον,
οἰκτίρμον, | τοὺc μεταcτάνταc | ἐκ τῶν προcκαίρων πρὸc cὲ
τὸν δεcπότην πάντων | καὶ φιλάνθρωπον,

---

28 cκηναῖc Triod. — 35 πανάχραντε Triod. — V 3 cκηνῶcαι Triod. — 6 καθαρῶc ἀναφέρεται D — 9 τῶν ἀγγέλων Triod. — 11. 33 παράcχου τὸ μέγα ἔλεοc Triod. — 12 ψάλλει Triod. — 13 κράτοc εὐδόκηcον Triod.

διδοὺϲ ὡραιότητι | τοῦ ϲοῦ κάλλουϲ ἐλλάμπεϲθαι
καὶ τῆϲ γλυκείαϲ | καὶ τερπνῆϲ μετουϲίαϲ ϲου
ἀπολαύειν τε | καὶ τρυφᾶν καθαρώτερον,
ἔνθα περὶ τὸν θρόνον ϲου | χορεύουϲιν ἄγγελοι
καὶ τῶν ἁγίων οἱ δῆμοι | χαρμονικῶϲ περιέπουϲι·
μεθ' ὧν τοῖϲ ϲοῖϲ δούλοιϲ
τὴν ἀνάπαυϲιν παράϲχου | καὶ μέγα ἔλεοϲ.

Ὅπου τῶν προφητῶν οἱ χοροί,
τῶν ἀποϲτόλων | καὶ μαρτύρων τὰ τάγματα
καὶ πάντων | τῶν ἀπ' αἰῶνοϲ | δικαιωθέντων τῷ ϲῷ
ϲωτηρίῳ πάθει | καὶ τῷ αἵματι,
δι' οὗ ἐξηγόραϲαϲ | τὸν αἰχμάλωτον ἄνθρωπον,
ἐκεῖ τοὺϲ πίϲτει | κοιμηθένταϲ ἀνάπαυϲον,
ὡϲ φιλάνθρωποϲ | ϲυγχωρῶν τὰ ἐγκλήματα·
μόνοϲ γὰρ ἀναμάρτητοϲ | ἐν γῇ πεπολίτευϲαι,
ἅγιοϲ μόνοϲ καὶ μόνοϲ | ἐν τεθνεῶϲιν ἐλεύθεροϲ·
διὸ τοῖϲ ϲοῖϲ δούλοιϲ
τὴν ἀνάπαυϲιν παράϲχου | ὡϲ μόνοϲ εὔϲπλαγχνοϲ.

Νόμῳ τῆϲ ἁμαρτίαϲ ἡμᾶϲ
δεδουλωμένουϲ | ἠλευθέρωϲαϲ, δέϲποινα,
ἐν μήτρᾳ | τὸν νομοθέτην | καὶ βαϲιλέα ἡμῶν
ϲυλλαβοῦϲα μόνη, | μητροπάρθενε,
δι' ὃν δικαιούμεθα | δωρεᾷ τε καὶ χάριτι·
ὃν νῦν δυϲώπει, | τὰϲ ψυχὰϲ τῶν ὑμνούντων ϲε
θεομήτορα | κατατάξαι ἐν βίβλῳ ζωῆϲ,
ὅπωϲ τῇ μεϲιτείᾳ ϲου | ϲωθέντεϲ, πανάμωμε,
τῆϲ τοῦ υἱοῦ ϲου εὐκταίαϲ | ἀπολυτρώϲεωϲ τύχωϲιν,
αὐτὸν προϲκυνοῦντεϲ
τὸν παρέχοντα τῷ κόϲμῳ | τὸ μέγα ἔλεοϲ.

ἦχοϲ πλ. β'.
κατὰ τὸ «Ὅλην ἀποθέμενοι.»

Ἔχων ἀκατάληπτον | τὴν εἰϲ ἡμᾶϲ εὐϲπλαγχνίαν
καὶ πηγὴν ἀκένωτον | θεϊκῆϲ χρηϲτότητοϲ,
πολυέλεε,
τοὺϲ πρὸϲ ϲέ, δέϲποτα, | μεταβεβηκόταϲ
ἐν γῇ ζώντων καταϲκήνωϲον,

16 ὡραιότητοϲ Triod. — ἐκλάμπεϲθαι D — 21 τοὺϲ ϲοὺϲ δούλουϲ D — 23 ὁ χορόϲ Triod. — 25 πάντεϲ οἱ — δικαιωθέντεϲ Triod. — 29 ϲυγχωρῶν καὶ τὰ πταίϲματα Triod. 32 τοὺϲ ϲοὺϲ δούλουϲ D — 34 νόμου D — 35 πάναγνε Triod. — 36 νομοδότην Triod. — βαϲιλέα θεόν Triod. — 38 δι' οὗ Triod. — 42 τύχοιμεν Triod. — VI 1 fort.: ἀκατάληκτον

εἰϲ τὰ ϲκηνώματα | τὰ ἀγαπητὰ καὶ ποθούμενα,
κατάϲχεϲιν δωρούμενοϲ
τὴν διηνεκῶϲ διαμένουϲαν·
ϲὺ γὰρ ὑπὲρ πάντων | ἐξέχεαϲ τὸ αἷμά ϲου, ϲωτὴρ,
καὶ ζωηφόρῳ τιμήματι
κόϲμον ἐξηγόραϲαϲ.

Νέκρωϲιν ὑπέμειναϲ | ζωοποιὸν ἑκουϲίωϲ,
καὶ ζωὴν αἰώνιον | καὶ τρυφὴν ἀΐδιον
πιϲτοῖϲ δέδωκαϲ,
ἐν ᾗ κατάταξον | τοὺϲ κεκοιμημένουϲ
ἐπ' ἐλπίδι ἀναϲτάϲεωϲ,
τὰ τούτων πταίϲματα | πάντα ϲυγχωρῶν ἀγαθότητι,
ὡϲ μόνοϲ ἀναμάρτητοϲ,
μόνοϲ ἀγαθὸϲ καὶ φιλάνθρωποϲ,
ἵνα διὰ πάντων | ὑμνῆταί ϲου τὸ ὄνομα, Χριϲτὲ,
καὶ ϲεϲωϲμένοι δοξάζωμεν
τὴν φιλανθρωπίαν ϲου.

Ζώντων κυριεύοντα | θεαρχικῇ ἐξουϲίᾳ
καὶ νεκρῶν δεϲπόζοντα | ϲὲ, Χριϲτὲ, γινώϲκομεν,
πολυέλεε·
τοὺϲ πιϲτοὺϲ δούλουϲ ϲου | τοὺϲ πρὸϲ ϲὲ τὸν μόνον
εὐεργέτην ἐκδημήϲανταϲ
αὐτὸϲ ἀνάπαυϲον | ϲὺν τοῖϲ ἐκλεκτοῖϲ ϲου, φιλάνθρωπε,
ἐν τόπῳ ἀναψύξεωϲ,
ἐν ταῖϲ τῶν ἁγίων λαμπρότηϲι·
θελητὴϲ ἐλέουϲ | ὑπάρχειϲ γὰρ καὶ ϲώζειϲ ὡϲ θεὸϲ,
οὓϲ κατ' εἰκόνα ϲου ἔπλαϲαϲ,
μόνε πολυέλεε.

Ὤφθηϲ ἐνδιαίτημα | θεοπρεπὲϲ, παναγία,
καὶ θεὸν ἐχώρηϲαϲ | καὶ θεὸν ἐγέννηϲαϲ,
μητροπάρθενε,
ἐν δυϲὶ φύϲεϲιν, | ἐν δυϲὶν οὐϲίαιϲ,
ἐν μιᾷ δὲ ὑποϲτάϲει, ἁγνή·
αὐτὸν δυϲώπηϲον | τὸν μονογενῆ καὶ πρωτότοκον,
τὸν ϲὲ παρθένον ἄμωμον
καὶ μετὰ τὸν τόκον φυλάξαντα

9 Χριϲτέ Triod. — 11 ἠλευθέρωϲαϲ Triod. — 13 ζωὴν ἐπήγαϲαϲ Triod. — 15—17 ἐν ϲκηναῖϲ δέϲποτα ταῖϲ αἰωνιζούϲαιϲ. καὶ ἐν τόποιϲ ἀναπτύξεωϲ. αὐτοὺϲ κατάταξον. τοὺϲ κεκοιμημένουϲ ὡϲ εὔϲπλαγχνοϲ. καὶ μόνοϲ D — 23 θεαρχικῆϲ ἐξουϲίαϲ D — 24 δεϲπόζοντοϲ D — γινώϲκοντεϲ ἱκετεύομεν D — 29 τόποιϲ Triod. — 35 Χριϲτὸν ἐγέννηϲαϲ D — 36 ἀπειρόγαμε D — 38 μιᾷ τῇ ὑποϲτάϲει δέ D — 39 ἱκέτευε Triod.

ψυχὰϲ ἀναπαῦϲαι | τῶν πίϲτει κοιμηθέντων ἐξ ἡμῶν
ἐν ἀκηράτῳ φαιδρότητι
καὶ μακαριότητι.

ἦχοϲ βαρύϲ.
κατὰ τὸ «Καταφρονήϲαντεϲ.»

Νενεκρωμένοϲ ὡράθηϲ | ἐπὶ σταυροῦ, μόνε ἀθάνατε,
καὶ ἐν τῷ τάφῳ ὡϲ θνητὸϲ | ἐτέθηϲ, μακρόθυμε,
ἐκ φθορᾶϲ καὶ θανάτου | τοὺϲ ἀνθρώπουϲ λυτρούμενοϲ·
ἀλλ᾽ ὡϲ πέλαγοϲ εὐϲπλαγχνίαϲ | ὑπάρχων ἀκένωτον
καὶ πηγὴ ἀγαθότητοϲ, | τὰϲ ψυχὰϲ τῶν ϲῶν δούλων
τῶν ἐξ ἡμῶν μεταϲτάντων ἀνάπαυϲον.

Τῷ ἀκηράτῳ ϲου κάλλει | καὶ γλυκαϲμῷ τῆϲ ὡραιότητοϲ
καὶ ταῖϲ τοῦ θείου ϲου φωτὸϲ | ἀκτῖϲιν ἐλλάμπεϲθαι
τοὺϲ πρὸϲ ϲὲ μεταϲτάνταϲ, | ἀγαθέ, καταξίωϲον
ἐν ἀΰλῳ φωτοχυϲίᾳ | τῆϲ φωτοφανείαϲ ϲου,
ϲὺν ἀγγέλοιϲ χορεύονταϲ | περὶ ϲὲ τὸν δεϲπότην
καὶ βαϲιλέα τῆϲ δόξηϲ καὶ κύριον.

Ὡϲ ἀδαπάνητον ἔχων | τῶν δωρεῶν [τὴν] μεγαλοπρέπειαν,
ὡϲ θηϲαυρὸϲ ἀνελλιπὴϲ | πλουϲίαϲ χρηϲτότητοϲ
τοὺϲ πρὸϲ ϲὲ μεταϲτάνταϲ | ὡϲ θεὸϲ καταϲκήνωϲον
ἐν τῇ χώρᾳ τῶν ἐκλεκτῶν ϲου, | ἐν τόπῳ ἀνέϲεωϲ,
ἐν τῷ οἴκῳ τῆϲ δόξηϲ ϲου, | ἐν τρυφῇ παραδείϲου,
ἐν τῷ [τῶν] παρθένων νυμφῶνι ὡϲ εὔϲπλαγχνοϲ.

Νόμου τὸ πλήρωμα τίκτειϲ, | τὸν λυτρωτὴν ϲάρκα γενόμενον·
οὐ γὰρ ἐγένετο τοῖϲ πρὶν | ἐν νόμῳ δικαίωϲιϲ·
δι᾽ ἡμᾶϲ γὰρ ὁ Χριϲτὸϲ | ϲταυρωθεὶϲ ἐδικαίωϲεν·
ὡϲ οὖν ἔχουϲα παρρηϲίαν, | ὡϲ μήτηρ ἱκέτευε
τὸν υἱόν ϲου τὸν εὔϲπλαγχνον, | τὰϲ ψυχὰϲ ἀναπαῦϲαι
τῶν εὐϲεβῶϲ μεταϲτάντων, πανύμνητε.

ἦχοϲ πλ. δ΄.
κατὰ τὸ «Ὢ τοῦ παραδόξου θαύματοϲ.»

Βαϲιλικῶϲ μοι ὑπέγραψαϲ | ἐλευθερίαν, βαφαῖϲ
ἐρυθραῖϲ τοὺϲ δακτύλουϲ ϲου | αἱματώϲαϲ, δέϲποτα,
καὶ φοινίξαϲ ϲῷ αἵματι·
καὶ νῦν ἐν πίϲτει | καθικετεύω ϲε,

---

42 κοιμηθέντων εὐϲεβῶϲ Triod. — VII 2 τῷ in codd. edd. omissum nos de coni. addidimus — 13 τὴν uncinis inclusimus — 15 ἀγαθὲ καταξίωϲον. ἐν ἀύλῳ φωτοχυϲίᾳ ἐν τόποιϲ D — 17 ἐν τρυφῇ παραδείϲου om. D — 18 τῶν eiiciendum significavimus — 19 δίχα γεν. D — 21 Χριϲτὸϲ δέ D — 23 ϲου καὶ κύριον D — 24 τῶν ἐξ ἡμῶν μεταϲτάντων ὡϲ εὔϲπλαγχνοϲ D — VIII 2 τῶν δακτύλων D — 3 τῷ αἵματι Triod. — 4 καθικετεύομεν omisso ϲε D

τοῖc πρωτοτόκοιc | cου cυναρίθμηcον
καὶ τῶν δικαίων cου | τῆc χαρᾶc ἀξίωcον
ἐπιτυχεῖν
τοὺc μεταχωρήcαντας | πρὸc cὲ τὸν εὔcπλαγχνον.

Ἱεραρχήcαc ὡc ἄνθρωποc, | cφαγαcθεὶc ὡc ἀμνόc,
προcφορὰν προcενήνοχαc | τῷ πατρὶ τὸν ἄνθρωπον,
τῆc φθορᾶc ἐξωνούμενοc·
τοὺc μεταcτάνταc | οὖν ὡc φιλάνθρωποc
ἐν τῇ τῶν ζώντων | χώρᾳ κατάταξον,
ἔνθα οἱ χείμαρροι | τῆc τρυφῆc προχέονται,
ἔνθα πηγαὶ
τῆc ἀϊδιότητοc | ἀναβλυcτάνουcιν.

Βάθει cοφίαc ἀρρήτου cου | δροθετεῖc τὴν ζωὴν
καὶ προβλέπειc τὰ μέλλοντα | καὶ πρὸc βίον ἕτερον
μετοικίζειc τοὺc δούλουc cου·
οὓc προcελάβου | τοίνυν κατάταξον
ἐπὶ ὑδάτων | τῆc ἀναπαύcεωc,
ἐν τῇ λαμπρότητι | τῶν ἁγίων, κύριε,
ἔνθα φωνὴ
τῆc ἀγαλλιάcεωc | καὶ τῆc αἰνέcεωc.

Λόγοc ὑπάρχων ἀόρατοc, | ὁμοφυὴc τῷ πατρὶ
καὶ τῷ πνεύματι cύνθρονοc, | δι᾽ ἐμὲ τὸν ἄνθρωπον
ἐν cαρκὶ πεφανέρωcαι·
ὡc ἐλεήμων | οὖν καὶ φιλάνθρωποc
τοὺc ἐκ τοῦ βίου | μεταφοιτήcανταc
τῆc εὐπρεπείαc cου | καὶ τῆc ὡραιότητοc
ταῖc καλλοναῖc
τούτουc καταλάμπρυνον, | ζωαρχικώτατε.

Ὡc cυλλαβοῦcα τὸν ἄναρχον | λόγον θεοῦ καὶ πατρὸc
μητρικῇ παρρηcίᾳ cου | ἐκτενῶc ἱκέτευε
κατατάξαι τοὺc δούλουc cου,
ἔνθα χορεία | ἡ ἀκατάλυτοc
εὐφραινομένων | καὶ εὐφημούντων cε·
ἔνθα λαμπρότητεc | αἱ διαιωνίζουcαι
καὶ ὁ γλυκὺc
ἦχοc ἑορτάζοντοc, | θεογεννήτρια.

8 μεταφοιτήcανταc Triod. — 11 ἐξαιρούμενοc D — 14 προέρχονται Triod. — 15 ἔνθα πιcτῶν D — 16 ἀναβλαcτάνουcιν D — 18 προβλ. τὸν θάνατον καὶ πρὸc κόcμον D — 20 cῶτερ κατ. D — 22 ἁγίων cύνταξον D — 23 ἔνθα φωτί D — 26 cύμμορφοc D — 28 καὶ ὡc φιλ. D — 33 θεοῦ καὶ θεόν D

ΡΩΜΑΝΟΥ ΤΟΥ ΜΕΛΩΔΟΥ

I

Ψαλμὸς τῶν ἁγίων ἀποστόλων.

Ἡ ἀκροστιχίς: «Τοῦ ταπεινοῦ Ῥωμανοῦ ὁ ψαλμός.»

Ὁ σοφίσας ὑπὲρ ῥήτορας | τοὺς ἁλιεῖς,
Τοὺς ἀσφαλεῖς καὶ θεοφθόγγους κήρυκας,
τὴν κορυφὴν | τῶν μαθητῶν σου, κύριε,
προσελάβου εἰς ἀπόλαυσιν
τῶν ἀγαθῶν σου καὶ ἀνάπαυσιν·
τοὺς πόνους γὰρ ἐκείνων | καὶ τὸν θάνατον
ἐδέξω ὑπὲρ πᾶσαν ὁλοκάρπωσιν,
ὁ μόνος γινώσκων τὰ ἐγκάρδια.

Τράνωσόν μου τὴν γλῶτταν, σωτήρ μου,
πλάτυνόν μου τὸ στόμα·
καὶ πληρώσας αὐτὸ | κατάνυξον τὴν καρδίαν μου,
ἵνα οἷς λέγω ἀκολουθήσω;
καὶ ἃ δῆθεν διδάσκω | ποιήσω πρῶτος·
πᾶς γὰρ ποιῶν | καὶ διδάσκων, φησὶν, | οὗτος μέγας ἐστίν.
ἐὰν οὖν λέγων μὴ πράττω,
ὡς χαλκὸς ἠχῶν λογισθήσομαι·
διὸ λαλεῖν με τὰ δέοντα
καὶ ποιεῖν τὰ συμφέροντα δώρησαι,
ὁ μόνος γινώσκων τὰ ἐγκάρδια.

Οὕτω ποτὲ καὶ οἱ μαθηταί σου,
ἐκτελέσαντες πρῶτον
τὰ διδάγματά σου, | ἐδίδασκον ἅπερ ἔπραττον,
πάσῃ δυνάμει ὁμοῦ κυροῦντες
τῇ σῇ διδασκαλίᾳ | τὴν πολιτείαν·
ἣν ὁ ὁρῶν | καὶ ζηλῶν, ὡς αὐτοὶ, | οὗτος μέγας ἐστὶ
γυμνοῦσθαι τῶν ἐν τῷ βίῳ,
τῶν ἄνω φροντίζειν ἑκάστοτε,
σταυρὸν βαστάζειν ἐπ' ὤμοισιν,

Longi psalmi praeludium Τοὺς ἀσφαλεῖς κ. τ. λ. et prima stropha Τράνωσόν μου κ. τ. λ. in officium diei festi duodecim apostolorum (30 Iun.) sub nomine κοντακίου et οἴκου recepta sunt. Repetivimus hoc carmen ex libro J. B. Pitrae Hymnographie de l'église grecque p. I sqq., quo de libro notitiam cod. Corsiniani hausimus; praeterea nobis carminis, cuius modulationem non cognovimus, versus restituentibus in eo acquiescendum esse censuimus, ut et sententiam et caesuram variatam secuti cola tertium et quartum, sextum et septimum, octavum nonum decimum singulas in periodos contraheremus. — 8 Reg. III. VIII 39. Paralip. II. VI 30. — 13 δῆθεν om. Barth. — 15 ἐὰν γὰρ λέγω καὶ μὴ Barth. — 17 λαλεῖν μοι Barth. — 22 ἐδίδαξον Pitra typothetarum errore ut videtur — 23 fortasse ὁμοκυροῦντες ad analogiam τοῦ ὁμολογεῖν finxit Romanus — 24 σῇ omissum in cod. add. Pitra

ἐντρυφᾶν τῷ θαγεῖν, ὡϲ προϲέταξαϲ,
ὁ μόνοϲ γινώϲκων τὰ ἐγκάρδια.

Ὕλη τοϲαύτη τῶν ἐναρέτων
εὐκόϲμων ὁ κατάλογοϲ
[τῶν] ἀποϲτόλων, πιϲτοί, | πᾶϲαν τὴν γῆν εὐωδίαϲε,
τὰ κλήματα τῆϲ Χριϲτοῦ ἀμπέλου,
τὸ γεώργιον τοῦ ἄνω | καλλιέργου·
οἱ πρὸ Χριϲτοῦ | ἁλιεῖϲ καὶ μετὰ | τὸν Χριϲτὸν ἁλιεῖϲ,
οἱ ἅλμῃ ϲυνομιλοῦντεϲ
καὶ γλυκὺ ῥῆμα νῦν ἐρευγόμενοι·
οἱ πρὶν ἰχθύαϲ ἀγρεύοντεϲ
τοὺϲ βροτοὺϲ νῦν θηρᾶν ἐδιδάχθηϲαν·
ὁ μόνοϲ γινώϲκων τὰ ἐγκάρδια.

Τούτουϲ τοὺϲ ἄρναϲ ὁ ἀγελάρχηϲ,
οὓϲ ἐϲκόρπιϲε φόβοϲ
ἐν καιρῷ τοῦ ϲταυροῦ, | ϲυνήγαγε μετ᾽ ἀνάϲταϲιν·
ϲτὰϲ γὰρ εἰϲ ὕψοϲ ἐπὶ τοῦ ὄρουϲ
ἐκελάδηϲε μέλοϲ | γλυκὺ τῇ ποίμνῃ,
θάρϲοϲ διδοὺϲ | καὶ μικρόν, ὡϲ δειλοῖϲ, | αἰνιττόμενοϲ
ἐβόα λέγων· θαρϲεῖτε,
ἐγὼ μόνοϲ τὸν κόϲμον νενίκηκα·
ἐγὼ τοὺϲ λύκουϲ ἐϲκόρπιϲα·
μετ᾽ ἐμοῦ ἦν οὐδείϲ, μόνοϲ ἦν ἐγώ,
ὁ μόνοϲ γινώϲκων τὰ ἐγκάρδια.

Ἄπιτε οὖν εἰϲ πάντα τὰ ἔθνη·
μετανοίαϲ τὸν ϲπόρον
ἐμβαλόντεϲ τῇ γῇ | διδαϲκαλίαιϲ ἀρδεύϲατε·
βλέπε μοι, Πέτρε, πῶϲ ἐκπαιδεύειϲ·
ἐννοῶν ϲου τὸ πταῖϲμα, | ϲυμπάθει πᾶϲι,
μὴ αὐϲτηρῶϲ | δι᾽ ἐκείνην τὴν κόρην | τὴν ϲείϲαϲάν ϲε·
ἐάν ϲοι τύφοϲ εἰϲπέϲῃ,
τῆϲ φωνῆϲ τοῦ ἀλέκτοροϲ μνήϲθητι
καὶ τῶν δακρύων μνημόνευε,
ὧν ἐγώ ϲε τοῖϲ ῥείθροιϲ ἀπέπλυνα,
ὁ μόνοϲ γινώϲκων τὰ ἐγκάρδια.

---

29 τοῦ θανεῖν cod., emendavit Pitra — 32 εὐκόϲμων de coni. reposuimus: εὐκομῶν cod. εὔκοϲμοϲ κατάλογοϲ Pitra — 33 ἀποϲτόλων nos: τῶν ἀποϲτόλων cod. — 48 Ioann. XVI 33 Christum non post resurrectionem, sed antequam cruci affigeretur, haec vociferatum esse testatur — 49 τὸν eiecit Pitra, nos et in hac et tertia, quinta, sexta aliis strophis in initio versus anapaestum a poeta admissum esse iudicamus. — 51 ἤμην ἐγὼ Pitra — 54 Matth. X. XXVIII 19 et 20. Marc. XVI 15 et 16. Luc. XXIV 47 — 58 διὰ ἐκείνην Pitra

Πέτρε, φιλεῖς με; ποίει ἃ λέγω:
ποίμανόν μου τὴν ποίμνην
καὶ φίλει οὓς φιλῶ, | συμπάσχων τοῖς ἁμαρτάνουσιν,
μνησθείς μου τῆς πρὸς σὲ εὐσπλαγχνίας,
ὅτι τρὶς ἀρνησάμενόν | σ᾿ ἐδεξάμην·
ἔχεις λῃστὴν | θυρωρὸν παραδείσου | θαρρύνοντά σε·
ἐκείνῳ πέμπε οὓς θέλεις·
δι᾿ ὑμῶν πρὸς ἐμὲ ἀναστρέφει Ἀδὰμ
βοῶν· ὁ πλάστης παράσχες μοι
τὸν λῃστὴν πυλωρὸν καὶ κλειδοῦχον Κηφᾶν,
ὁ μόνος γινώσκων τὰ ἐγκάρδια.

Ἴσχυέ μοι καὶ σύ, ὦ Ἀνδρέα!
ὥσπερ εὗρές με πρῶτος
εὑρεθεὶς παρ᾿ ἐμοῦ, | εὑρὲ καὶ σὺ τὸν πλανώμενον·
μὴ ἐπιλάθῃ τῆς πρώτης τέχνης·
ἐξ αὐτῆς γάρ σε εἰς ταύτην μεταπαιδεύσω·
ὡς πρὶν γυμνὸς | εἰς βυθὸν καὶ νυνὶ | πρὸς τὸν βίον γυμνός,
καλάμῳ πρὶν ἁλιεύων
σταυρῷ ἁλιεύειν διδάχθητι·
τῷ σκώληκι ἐδελέαζες,
τῇ σαρκί μου θηρᾶν παραγγέλλω σοι,
ὁ μόνος γινώσκων τὰ ἐγκάρδια.

Νῦν δεῖξον ἔργον, ὦ Ἰωάννη!
νυνὶ μάθωσι πάντες,
ὡς οὐ μάτην τὸ πρὶν | ἀνέκλινά σε τῷ στήθει μου·
ποίησον αὔλακας τῇ πηγῇ μου,
ἧς τὰ νάματα ἤντλησεν | ἡ στοργή σου·
ὄρυξόν μοι | ὡς δικέλλῃ τῇ γλώττῃ | διέξοδον,
[καὶ] ἥξω ὡς, ἐὰν θέλῃς,
καὶ ποτίσας μεθύσω τὸν σπόρον σου·
ὡς κόκκους λόγους κατάβαλλε,
καὶ αὐξήσας πληθύνω τὰ λήϊά σου,
ὁ μόνος γινώσκων τὰ ἐγκάρδια.

Οὕτω καὶ σύ, Ἰάκωβε, πράττε,
μὴ τὸ κήρυγμα λείψας,

---

64 Ioann. XXI 15—17 — 68 ἀρνησάμενόν σε ἐδεξάμην cod. aut ἀρνούμενον aut ἀρνησάμενον σ᾿ ἐδεξάμην emendandum esse monuit Pitra, quarum emendationum altera et facilior et accentibus accommodatior est — 70 ἐθέλεις cod. — 72 παράσχες Pitra: παρέσχες cod. — 76 Ioann. I 41 et 42. — 79 εἰς ταύτην σε cod., Pitra maluit αὐτῆς σ᾿ εἰς ταύτην — 80 πρὶν Pitra: πρώην cod. — 82 τῷ σταυρῷ cod., emendavit Pitra. — 88 Ioann. XIII 23 — 91 τῇ σῇ Pitra, at in clausula legitimum creticum pro choriambo posuit poeta — 92 ὡς ἂν ἐθέλῃς Pitra, ὡς ἐὰν θέλεις cod. — 93 καὶ eiecit Pitra — μεθύσω nos: μετύσω Pitra — 95 πληθυνῶ Pitra contra accentuum concinnitatem.

Ζεβεδαίου μνηcθεὶc, | οὗ πρὶν ἐμὲ προετίμηcαc·
οἶδαc γὰρ, πῶc ἀφῆκαc ἐν cκάφῃ
τὸν γενέτην, τὸν πλάcτην | ἐμὲ ποθήcαc·
πλήρωcόν μου | τὴν βουλὴν μετὰ τῶν | ὁμοδούλων cου·
μὴ πτήξηc τοὺc ἐπιβούλουc·
τὰc βουλὰc γὰρ αὐτῶν διεcκέδαcα·
μαχαίραιc cε ὅταν τέμνωcι,
νόει, τίc ὁ τῇ λόγχῃ νυγεὶc τὴν πλευρὰν,
ὁ μόνοc γινώcκων τὰ ἐγκάρδια.

Ὕπαγε, Φίλιππε, ἅμα τούτοιc,
κήρυξόν με; ὡc βλέπειc
καὶ ἀκούειc μου νῦν· | μὴ τοῦ πατρόc μου χωρίcῃc με,
μὴ εἴπῃc, ὅτι τὸν γόνον εἶδον,
τὸν δὲ τούτου γενέτην | οὐδ᾽ ὅλωc εἶδον·
ἔδειξά cοι | ἐν ἐμοὶ τὸν πατέρα | κἀμὲ ἐν αὐτῷ·
οὐκ ἦλθον παρὲξ ἐκείνου·
ὃ γὰρ λέγει τελῶ· καὶ ὃ θέλω τελεῖ·
ἐν τῷ αὐτῷ ἐcμεν πνεύματι·
τούτου κήρυκα ῥήτορα πέμπω cε,
ὁ μόνοc γινώcκων τὰ ἐγκάρδια.

Ῥήματα τῆc τότε ἀπιcτίαc
διὰ πίcτεωc ἄρτι
ἀπαλείψαc, Θωμᾶ, | κήρυξον, ὃν ἐψηλάφηcαc·
ἦλθε καιρὸc, ὃν ἀεὶ ἐπόθειc,
παρατάξαcθαι δήμῳ | τῷ τῶν Ἑβραίων·
ἔχειc cαφῶc | τῆc ἐγέρcεώc μου | τὰ ἐνέχυρα·
τοὺc τύπουc εἶδεc τῶν ἥλων
καὶ τῆc λόγχηc κατεῖδεc τοὺc μώλωπαc·
οὐκ ἔcτι cοι λοιπὸν πρόφαcιc·
πᾶcαν γὰρ ἀφορμὴν περιῄρουν cου,
ὁ μόνοc γινώcκων τὰ ἐγκάρδια.

Ὥcπερ τελώνηc μεῖνον, Ματθαῖε,
καὶ τελώνει ἐκεῖνον
τὸν ἐχθρὸν τοῦ Ἀδὰμ, | ὥcπερ πρὶν τοὺc διοδεύονταc·
μὴ φείcῃ, ἕωc ἂν ἀπολάβῃc
καὶ τὸν ἔcχατον κοδράντην | παρ᾽ ἐκείνου·

---

99 Marc. I 19 et 20. — 104 γὰρ eiecit Pitra — 110 Ioann. XIV 8—10. — 115 ὃ θέλει τελῶ· ὃ θέλω τελεῖ Pitra, numero ille quidem syllabarum observato sed prosodia neglecta; sed nescio an ὃ γὰρ θέλει λέγω καὶ ὃ λέγω τελεῖ emendare praestet secundum Ioann. XIV 10 — 119 Ioann. XX 19—29 — 125 τύπουc nos ex Ioann. XX 25: τόπουc Pitra — 126 καί eiecit Pitra — 128 περιῄρουν nos: περιῇρον Pitra — 130 Matth. IX 9 — 132 ὥcπερ πρὶν Pitra: ὡc πρὶν cod.

καὶ κάθου τηρῶν | τὴν ὁδὸν τὴν πρὸς ᾅδην | ἀπάγουσαν·
κἂν εὕρῃς τὸν ὀλετῆρα
ἀπὸ τῶν ἐμῶν ἐκπορευόμενον,
ἐπίστηθι καὶ τελώνιςον
καὶ γυμνὸν τοῦτον δεῖξον, ὡς λέγω σοι
ὁ μόνος γινώσκων τὰ ἐγκάρδια.

Μίαν φωνὴν ἀφίημι πᾶσιν,
ἵνα μὴ τὸν καθ' ἕνα
ἐκδιδάσκων κοπῶ, | ἅπαξ λαλῶ τοῖς ἁγίοις μου·
πορευθέντες εἰς πάντα τὸν κόσμον
μαθητεύσατε ἔθνη | καὶ βασιλέας·
πάντα γάρ μοι | παρεδόθη ὑπὸ | τοῦ γεννήσαντός με,
τὰ ἄνω ἅμα τοῖς κάτω,
ὧν καὶ πρὶν λαβεῖν [τὴν] σάρκα ἐδέσποζον,
καὶ νῦν πάντων βεβασίλευκα
καὶ ὑμᾶς ἱερὰν ἔχω σύγκλητον
ὁ μόνος γινώσκων τὰ ἐγκάρδια.

Ἄπιτε οὖν εἰς πάντα τὰ ἔθνη·
μετανοίας τὸν σπόρον
ἐμβαλόντες τῇ γῇ | διδασκαλίαις ἀρδεύσατε·
τούτων δ' ἀκούσαντες οἱ συμμύσται
πρὸς ἀλλήλους ἑώρων, | κινοῦντες κάρας·
πόθεν ἡμῖν | ἡ φωνὴ καὶ ἡ γλῶττα | πρὸς πάντας λαλεῖν;
ἰσχὺν δὲ τίς ἡμῖν δώσει
ἀντιστῆναι λαοῖς καὶ τοῖς ἔθνεσιν,
. . . .,
. . . . ὡς προσέταξας
ὁ μόνος γινώσκων τὰ ἐγκάρδια;

Νῦν μὴ ταράσσεσθε τῇ καρδίᾳ,
μὴ θολώσῃ τὰς φρένας
ὑμῶν ὁ δυσμενής· | ὡς νήπιοι μὴ λογίζεσθε,
γίνεσθε φρόνιμοι ὡσεὶ ὄφεις·
δι' ὑμᾶς γὰρ ὡς ὄφις | ἐγὼ ὑψώθην·
μὴ ἑαυτοὺς | ἐκφοβοῦντες τὸ | κήρυγμα λείψητε·

---

135 κάθου, quod ante Romanum dixisse Alexin et Diphilum grammaticus anonymus apud Bekkerum anecd. p. 100 testatur, Graeci iam vulgo usurpant; Pitra coniecturis locum sanissimum dilaceravit. — 136 κἂν Pitra: καὶ ἐὰν cod. — 137 ἐκ τῶν ἐμῶν Pitra. — 138 ἐπίσθητι Pitra — 144 Matth. XXVIII 19. Marc. XVI 19 — 148 τὴν uncinis inclusimus. — 159 τοῖς Pitra — 160 lacunam hunc in modum explevit Pitra: ἀγράμματοι καὶ ἀπαίδευτοι, ἁλιεῖς ἀσθενεῖς, sed ut alia mittam, dativum casum leges grammaticae postulant — 163 Ioann. XIV, cf. XV, XVI, XVII — 166 Matth. X 16 habet οἱ ὄφεις — 167 Ioann. III 14. — 168 τὸ addidimus. — λείψητε nos: λείψετε cod.

οὐ θέλω cθένει νικῆcαι,
διὰ τῶν ἀcθενῶν περιγίνομαι·
οὐ χαίρω τοῖc πλατωνίζουcι,
τὰ μωρὰ γὰρ τοῦ κόcμου ἠγάπηcα,
ὁ μόνοc γινώcκων τὰ ἐγκάρδια.

Ὅμωc ὑμῖν καὶ δύναμιν δώcω,
δύναμιν ἐν τῷ πίπτειν
ἀνιcτᾶcαν πολλοὺc | καὶ γλῶτταν δὲ τὴν cοφίζουcαν·
τόνοc ἡμῶν cοβεῖ Δημοcθένην,
ἡττῶνται Ἀθηναῖοι καὶ Γαλιλαίοιc·
παύcει λοιπὸν | γὰρ ὁ μέγαc Κηφᾶc, | ἐξαγγέλλων ἐμὲ,
ἀμέτρουc λέξειc καὶ μύθουc,
ἀμαυροῖ τὸ ῥητὸν τοῦ μαραναθά·
ἡ Ναζαρὲτ δονεῖ Κόρινθον·
οἱ λαλοῦντεc ὑμεῖc, ὁ πείθων ἐγὼ,
ὁ μόνοc γινώcκων τὰ ἐγκάρδια.

Ὕβρεcι πάνταc ὑμᾶc πλυνοῦcι
φυλακαῖc ἐμβαλόντεc,
καὶ δεcμοῦντεc πικρῶc | τοῖc ἄρχουcι παραδώcουcιν·
ἀλλ' ὀρφανοὺc ὑμᾶc οὐκ ἐάcω·
μεθ' ὑμῶν γάρ εἰμι | μέχρι cυντελείαc·
ὅταν κριταῖc | παραcτῆτε, ὑμῶν | με ὄψεcθε μέcον·
δεcμεῖcθε καὶ cυνδεcμοῦμαι·
cὺν ἐμοὶ, δι' ἐμὲ πάντα πάcχετε·
ὑμεῖc τὴν γνώμην προτείνατε,
ὡc κἀγὼ δι' ὑμῶν ἀγωνίζομαι,
ὁ μόνοc γινώcκων τὰ ἐγκάρδια.

Ὅτε δὲ ἤκουcαν τῶν ῥημάτων
τοῦ cοφοῦ διδαcκάλου
οἱ cοφοὶ μαθηταὶ, | πρὸc ταῦτα ἀνταπεκρίθηcαν·
πάντα cκληρὰ ἡμῖν ἐπηγγείλω
καὶ δειλίαc ἀνάμεcτά τε | καὶ θανάτου·
τοῦτο δὲ νῦν | ἐνομίζομεν φεύγειν | κολλώμενοί cου·
καὶ ἄρτι τοῖc cκληροτέροιc
παραδίδωc ἡμᾶc ὁ cωτὴρ ἡμῶν·
ἐκάλεcαc εἰc ἀνάπαυcιν

172 Paulus ad Corinth. I 1, 27 — μῶρα Pitra contrariis modis — 176 ἀνιcτῶcαν cod., emendavit Pitra. — 177 τόνοc] τόμοc cod., quod defendit Pitra — 179 παύει suspicatur Pitra — γὰρ ὁ μέγαc nos, Pitra ex parte praeeunte, numerorum explendorum causa addidimus. — 186 ἐμβαλόντεc nos: ἐμβάλλοντεc Pitra — 201 exspectes κολλώμενοί cοι ut κολλώμενοc τῇ πόρνῃ apud Paulum ad Cor. I 6, 16 — 203 παραδίδηc cod. — 204 ὁ καλέcαc Pitra contra modorum concinnitatem.

καὶ ἰδοὺ προαλείφειϲ εἰϲ ἄθληϲιν,
ὁ μόνοϲ γινώϲκων τὰ ἐγκάρδια.

Ψῆφοϲ ὑμᾶϲ καλεῖ πρὸϲ ἀγῶναϲ·
ὁ κανὼν τῆϲ ἀγάπηϲ
ἀπαιτεῖ παρ᾿ ὑμῶν | φιλίαϲ ἔργον ἐνδείξαϲθαι·
πάθετε ὑπὲρ ἐμοῦ, ὡϲ φίλοι,
ὡϲ κἀγὼ ὑπὲρ φίλων | καὶ μὴ ὀφείλων·
χρέοϲ οὐδὲν | οὐχ εὑρέθη καλοῦν | με πρὸϲ θάνατον·
ἀλλ᾿ ὅμωϲ κατεδεξάμην
καὶ ϲταυρὸν ὡϲ χρεώϲτηϲ ὑπέμεινα·
τὸ πατρικὸν ὑμῶν δάνειον
ὁ ἀνεύθυνοϲ·θέλων ἀπέδωκα,
ὁ μόνοϲ γινώϲκων τὰ ἐγκάρδια.

Ἄπιτε οὖν εἰϲ πάντα τὸν κόϲμον·
μετανοίαϲ τὸν ϲπόρον
ἐμβαλόντεϲ τῇ γῇ, | διδαϲκαλίαιϲ ἀρδεύϲατε·
βλέπετε, μή τιϲ μετανοήϲαϲ
ἔξω τῆϲ ὑμετέραϲ | ϲαγήνηϲ μείνῃ·
χαίρω γὰρ τοῖϲ | ἐπιϲτρέφουϲιν, ὡϲ | οἴδατε καὶ ὑμεῖϲ·
ὡϲ εὐθὺϲ καὶ ὁ προδούϲ με
εἰϲ ἐμὲ μετὰ πρᾶϲιν ὑπέϲτρεφε,
κἀγὼ αὐτοῦ τὸ ἁμάρτημα
ἐξαλείψαϲ ὑμῖν τοῦτον ἥνωϲα,
ὁ μόνοϲ γινώϲκων τὰ ἐγκάρδια.

Λύπην μιϲήϲατε καὶ δειλίαν·
αὕτη γὰρ παραπέμπει
τῷ θανάτῳ πολλούϲ, | ὡϲ ὁ Ἰούδαϲ ἀπέδειξεν·
οἴδατε, πῶϲ ἀγχόνηϲ ϲχοινίον
ἡ ἀπόγνωϲιϲ ἔπλεξε | τῷ προδότῃ·
ὅμωϲ κενὴ | καὶ ἐν τούτῳ ἡ τοῦ | διαβόλου παγίϲ·
μικρὸν γὰρ καὶ ἀποτίϲει
ἀντὶ τοῦ Ϲκαριώτου τὸν Κίλικα,
ἀντὶ δολίου τὸν δόκιμον,
ἀντὶ πράτου τὸν Παῦλον κομίϲομαι,
ὁ μόνοϲ γινώϲκων τὰ ἐγκάρδια.

Μύϲται μου φίλοι καὶ ἀδελφοί μου·
μύϲταϲ γὰρ ὑμᾶϲ λέγω,

212 ἐμὲ coniecit Pitra, sed ipsis accentibus poetam in clausula periodi creticum posuisse docemur — 224 εὐθὺϲ nos: εἴθοιϲ cod. m. pr. εἴθ᾿ εἰϲ cod. m. sec. Pitra — 231 ὁ Ἰούδαϲ ἀπέδειξεν nos: τὸν Ἰούδαν ἀπέδειξεν cod. — 236 τοῦ expulit Pitra — 237 τοῦ δολίου cod., emendavit Pitra

οὐχὶ δούλους λοιπόν, | υἱοὺς καὶ συγκληρονόμους μου·
φωστῆρες τῆς οἰκουμένης ὅλης
καὶ ἐμοῦ τοῦ ἡλίου | φαιδραὶ ἀκτῖνες,
τῶν θησαυρῶν | τῶν ἐμῶν οἱ πιστοὶ | κλειδοφύλακες,
μεστοὶ τῶν δωρουμένων
παρ' ἐμοῦ τῷ Ἀδὰμ ὑποστρέφοντι,
οἱ στύλοι τῆς ἐκκλησίας μου,
οὓς ἐγὼ ἐκ θαλάσσης ἀνήγαγον,
ὁ μόνος γινώσκων τὰ ἐγκάρδια.

Οὕτω κηρύξατέ με τῷ κόσμῳ,
φανεροῦντες ὃ πέλω·
καὶ μισοῦντες λοιπὸν | παραβολὰς καὶ αἰνίγματα
εἴπατε, ὅτι θεὸς ὑπάρχω
καὶ ἀνέκφραστος δούλου | μορφὴν ἔλαβον·
δείξατε, πῶς | τὰς πληγὰς τῆς σαρκὸς | ᾠκειούμην ἑκών·
θεὸς ὤν, καίπερ μὴ θνήσκων,
σὺν τῷ σώματι ἦλθον εἰς θάνατον·
καὶ ὁ ταφεὶς ὡς κατάκριτος
ἐξεπόρθουν τὸν Ἅιδην ὡς κύριος,
ὁ μόνος γινώσκων τὰ ἐγκάρδια.

Σώσατε οὖν ἐν τούτοις τὸν κόσμον,
βαπτίζοντες εἰς ὄνομα
πατρός τε καὶ υἱοῦ | καὶ τοῦ ἁγίου πνεύματος.
Τούτοις τοῖς λόγοις κραταιωθέντες
οἱ ἀπόστολοι ἔλεγον | πρὸς τὸν πλάστην·
σὺ εἶ θεὸς | προαιώνιος καὶ | ἀτελεύτητος.
σὲ ἕνα κύριον γνόντες
ἅμα τῷ σῷ πατρὶ καὶ τῷ πνεύματι
κηρύσσομεν, ὡς προσέταξας·
σὺ γενοῦ μεθ' ἡμῶν καὶ ὑπὲρ ἡμῶν
ὁ μόνος γινώσκων τὰ ἐγκάρδια.

II

Στιχηρὰ προσόμοια εἰς τὰ προεόρτια τῶν Χριστουγέννων (Δεκ. 20)

ἦχος πλ. β'.

Αἱ ἀγγελικαὶ | προπορεύεσθε δυνάμεις·
οἱ ἐν Βηθλεὲμ | ἑτοιμάσατε τὴν φάτνην·
ὁ λόγος γὰρ γεννᾶται· | ἡ σοφία προέρχεται·
δέχου ἀσπασμὸν ἡ ἐκκλησία·

---

254 fort. ὑπάρχων — 255 ἀνεκφράστως coni. Pitra — 256 οἰκειούμην cod. — 263 secundus cum tertio versu ita cohaeret, ut prioris extrema syllaba partem insequentis numeri efficiat — 264 παναγίου dubitanter proposuit Pitra — 268 καὶ σὲ cod., particulam καὶ eiiciendam esse intellexit Pitra — 270 κηρύξομεν de coni. scripsit Pitra

εἰc τὴν χαρὰν τῆc θεοτόκου | λαοὶ εἴπωμεν·
εὐλογημένοc ὁ ἐλθὼν | θεὸc ἡμῶν· δόξα coι.

Ἀνίcχει ὁ ἀcτὴρ | Ἰακὼβ ἐν τῷ cπηλαίῳ·
δεῦτε καὶ ἡμεῖc | προεόρτια τελοῦντεc
cυνδράμωμεν τοῖc μάγοιc, | τοῖc ποιμέcι cυνέλθωμεν·
ἴδωμεν θεὸν ἐν τοῖc cπαργάνοιc·
ἴδωμεν παρθένον γαλουχοῦcαν· | φρικτὸν θέαμα!
ὁ βαcιλεὺc τοῦ Ἰcραὴλ | Χριcτὸc παραγίνεται.

Βουνοὶ γλυκαcμὸν | cταλαξάτωcαν· ἰδοὺ γὰρ
ἥκει ὁ θεόc, | ἐκ Θαιμὰν ἔθνη ἡττᾶcθε·
ἀγάλλεcθε προφῆται, | πατριάρχαι cκιρτήcατε·
ἄνθρωποι χορεύcατε ἐνθέωc·
ὁ ἰcχυρὸc καὶ μέγαc ἄρχων | Χριcτὸc τίκτεται·
ὁ βαcιλεὺc τῶν οὐρανῶν | ἐν γῇ παραγίνεται.

Γῆθεν ἀνυψῶν | τοὺc βροτοὺc ὁ πλάcτηc ἥκει,
τὴν βαcιλικὴν | καινουργῶν αὖθιc εἰκόνα·
cυγχάρητε, τῶν ἄνω | αἱ δυνάμειc, ὑμνήcατε·
ἔχθραc τὸ μεcότοιχον ἐλύθη·
ἦλθεν ᾧ ἀπέκειτο· θεὸc γὰρ | βροτὸc γίνεται·
ὁ βαcιλεὺc τοῦ Ἰcραὴλ | Χριcτὸc παραγίνεται.

Δεῦτε, οἱ πιcτοί, | ὑπαντήcωμεν τῷ κτίcτῃ,
ἥκοντι εἰc γῆν | ἐκ παρθένου ἀνατεῖλαι·
ἁγνείᾳ λαμπρυνθῶμεν, | ἀρεταῖc ἀπαcτράψωμεν·
τρόμῳ καὶ χαρᾷ ἑτοιμαcθῶμεν
Χριcτὸν ἰδέcθαι βρεφωθέντα | νοὸc ὄμμαcιν,
ἡμᾶc θεοῦντα τοὺc βροτοὺc | ἄκρᾳ ἀγαθότητι.

Ἐγγίζει ὁ Χριcτόc· | Βηθλεὲμ προετοιμάζου·
ἤδη τῶν ἐθνῶν | τὸ cωτήριον αὐγάζει·
εὐτρέπιcον τὴν φάτνην, | τοὺc ποιμέναc cυνάγαγε,
κάλεcον τοὺc μάγουc ἐκ Περcίδοc·
αἱ cτρατιαὶ τῶν ἀcωμάτων | νοῶν κράζουcιν·
ὁ βαcιλεὺc τῶν οὐρανῶν | Χριcτὸc παραγίνεται.

Ζῆλόc τε καὶ πῦρ | καταφάγεταί cε, ἄφρων,
πλάνε ἀληθῶc | καὶ τοῦ νόμου cυκοφάντα·
Ἰδοὺ γὰρ ἡ παρθένοc, | Ἡcαΐαc ὡc ἔφηcεν,
ἔcχεν ἐν γαcτρὶ καὶ ἐπὶ φάτνηc

---

7 primum versiculum anacrusi auctum retinere quam articulum ὁ in altera et sexta stropha delere malui; item quinto versui secundae et quartae strophae una syllaba praefixa est.

ἀνακλινεῖ τὸν βασιλέα· | διὸ ἅπαντες
οἱ ἐξ Ἰούδα τῆς φυλῆς | δυνάσται ἐκλείψουσιν.

CΕΡΓΙΟΥ

ἀκάθιςτος ὕμνος τῆς θεοτόκου (Τριῴδ. cελ. 281—287)
κοντάκιον. ἦχος πλ. δ΄.

Τῇ ὑπερμάχῳ στρατηγῷ τὰ νικητήρια,
ὡς λυτρωθεῖcα τῶν δεινῶν, εὐχαριστήρια
ἀναγράφω σοι ἡ πόλις σου, θεοτόκε·
ἀλλ᾽ ὡς ἔχουσα τὸ κράτος ἀπροσμάχητον
ἐκ παντοίων με κινδύνων ἐλευθέρωσον,
ἵνα κράζω σοι· χαῖρε, νύμφη ἀνύμφευτε.

Οἱ οἶκοι τοῦ ἀκαθίστου ὕμνου κατ᾽ ἀλφάβητον.

Ἄγγελος πρωτοστάτης | οὐρανόθεν ἐπέμφθη
εἰπεῖν τῇ θεοτόκῳ τὸ «χαῖρε»·
καὶ σὺν τῇ ἀσωμάτῳ φωνῇ
σωματούμενόν σε θεωρῶν, κύριε,
ἐξίστατο καὶ ἵστατο, | κραυγάζων πρὸς αὐτὴν τοιαῦτα·
χαῖρε, δι᾽ ἧς ἡ χαρὰ ἐκλάμψει·
χαῖρε, δι᾽ ἧς ἡ ἀρὰ ἐκλείψει·
χαῖρε, τοῦ πεσόντος Ἀδὰμ ἡ ἀνάκλησις·
χαῖρε, τῶν δακρύων τῆς Εὔας ἡ λύτρωσις·
χαῖρε, ὕψος δυσανάβατον | ἀνθρωπίνοις λογισμοῖς·
χαῖρε, βάθος δυσθεώρητον | καὶ ἀγγέλων ὀφθαλμοῖς·
χαῖρε, ὅτι ὑπάρχεις | βασιλέως καθέδρα·
χαῖρε, ὅτι βαστάζεις | τὸν βαστάζοντα πάντα·
χαῖρε, ἀστὴρ ἐμφαίνων τὸν ἥλιον·
χαῖρε, γαστὴρ ἐνθέου σαρκώσεως·
χαῖρε, δι᾽ ἧς νεουργεῖται ἡ κτίσις·
χαῖρε, δι᾽ ἧς βρεφουργεῖται ὁ κτίστης·
χαῖρε, νύμφη ἀνύμφευτε.

Βλέπουσα ἡ ἁγία | ἑαυτὴν ἐν ἁγνείᾳ
φησὶ τῷ Γαβριὴλ θαρσαλέως·
τὸ παράδοξόν σου τῆς φωνῆς
δυσπαράδεκτόν μου τῇ ψυχῇ φαίνεται·
ἀσπόρου γὰρ συλλήψεως | τὴν κύησιν πῶς λέγεις κράζων·
Ἀλληλούϊα.

Codd. FG usi sumus in contakio et primo vico Sergii hymni recognoscendis — 22 μεθ᾽ ἧς F — προσκυνεῖται ὁ πλάστης FG

Γνῶϲιν ἄγνωϲτον γνῶναι | ἡ παρθένοϲ ζητοῦϲα
ἐβόηϲε πρὸϲ τὸν λειτουργοῦντα·
ἐκ λαγόνων ἁγνῶν υἱὸν
πῶϲ ἐϲτι τεχθῆναι δυνατόν; λέξον μοι·
πρὸϲ ἣν ἐκεῖνοϲ ἔφηϲεν ἐν φόβῳ, | πλὴν κραυγάζων οὕτω·
χαῖρε, βουλῆϲ ἀπορρήτου μύϲτιϲ·
χαῖρε, ϲιγῆϲ δεομένων πίϲτιϲ·
χαῖρε, τῶν θαυμάτων Χριϲτοῦ τὸ προοίμιον·
χαῖρε, τῶν δογμάτων αὐτοῦ τὸ κεφάλαιον·
χαῖρε, κλίμαξ ἐπουράνιε, | ᾗ κατέβη ὁ θεόϲ·
χαῖρε, γέφυρα μετάγουϲα | τοὺϲ ἐκ γῆϲ πρὸϲ οὐρανόν·
χαῖρε, τὸ τῶν ἀγγέλων | πολυθρύλλητον θαῦμα·
χαῖρε, τὸ τῶν δαιμόνων | πολυθρήνητον τραῦμα·
χαῖρε, τὸ φῶϲ ἀρρήτωϲ γεννήϲαϲα·
χαῖρε, τὸ «πῶϲ» μηδένα διδάξαϲα·
χαῖρε, ϲοφῶν ὑπερβαίνουϲα γνῶϲιν·
χαῖρε, πιϲτῶν καταυγάζουϲα φρέναϲ·
χαῖρε, νύμφη ἀνύμφευτε.

Δύναμιϲ τοῦ ὑψίϲτου | ἐπεϲκίαϲε τότε
πρὸϲ ϲύλληψιν τῇ ἀπειρογάμῳ·
καὶ τὴν εὔκαρπον ταύτηϲ νηδὺν
ὡϲ ἀγρὸν ὑπέδειξεν ἡδὺν ἅπαϲι
τοῖϲ θέλουϲι θερίζειν ϲωτηρίαν | ἐν τῷ ψάλλειν οὕτωϲ·
Ἀλληλούϊα.

Ἔχουϲα θεοδόχον | ἡ παρθένοϲ τὴν μήτραν
ἀνέδραμε πρὸϲ τὴν Ἐλιϲάβετ·
τὸ δὲ βρέφοϲ ἐκείνηϲ εὐθὺϲ
ἐπιγνοὺν τὸν ταύτηϲ ἀϲπαϲμὸν ἔχαιρε
καὶ ἅλμαϲιν ὡϲ ᾄϲμαϲιν | ἐβόα πρὸϲ τὴν θεοτόκον·
χαῖρε, βλαϲτοῦ ἀμαράντου κλῆμα·
χαῖρε, καρποῦ ἀκηράτου κτῆμα·
χαῖρε, γεωργὸν γεωργοῦϲα φιλάνθρωπον·
χαῖρε, φυτουργὸν τῆϲ ζωῆϲ ἡμῶν φύουϲα·
χαῖρε, ἄρουρα βλαϲτάνουϲα | εὐφορίαν οἰκτιρμῶν·
χαῖρε, τράπεζα βαϲτάζουϲα | εὐθηνίαν ἱλαϲμῶν·
χαῖρε, ὅτι λειμῶνα | τῆϲ τρυφῆϲ ἀναθάλλειϲ·
χαῖρε, ὅτι λιμένα | τῶν ψυχῶν ἑτοιμάζειϲ·
χαῖρε, δεκτὸν πρεϲβείαϲ θυμίαμα·
χαῖρε, παντὸϲ τοῦ κόϲμου ἐξίλαϲμα·
χαῖρε, θεοῦ πρὸϲ θνητοὺϲ εὐδοκία·

40 ᾗ coniectura reposuimus: δι' ἧϲ Triod.

χαῖρε, θνητῶν πρὸς θεὸν παρρησία·
χαῖρε, νύμφη ἀνύμφευτε.

Ζάλην ἔνδοθεν ἔχων | λογισμῶν ἀμφιβόλων
ὁ σώφρων Ἰωσὴφ ἐταράχθη,
πρὸς τὴν ἄγαμόν σε θεωρῶν
καὶ κλεψίγαμον ὑπονοῶν, ἄμεμπτε·
μαθὼν δὲ σου τὴν σύλληψιν | ἐκ πνεύματος ἁγίου ἔφη·
Ἀλληλούϊα.

Ἤκουσαν οἱ ποιμένες | τῶν ἀγγέλων ὑμνούντων
τὴν ἔνσαρκον Χριστοῦ παρουσίαν·
καὶ δραμόντες ὡς πρὸς ποιμένα
θεωροῦσι τοῦτον ὡς ἀμνὸν ἄμωμον
ἐν τῇ γαστρὶ Μαρίας βοσκηθέντα, | ἣν ὑμνοῦντες εἶπον·
χαῖρε, ἀμνοῦ καὶ ποιμένος μήτηρ·
χαῖρε, αὐλὴ λογικῶν προβάτων·
χαῖρε, ἀοράτων ἐχθρῶν ἀμυντήριον·
χαῖρε, παραδείσου θυρῶν ἀνοικτήριον·
χαῖρε, ὅτι τὰ οὐράνια | συναγάλλεται τῇ γῇ·
χαῖρε, ὅτι τὰ ἐπίγεια | συγχορεύει οὐρανοῖς·
χαῖρε, τῶν ἀποστόλων | τὸ ἀσίγητον στόμα·
χαῖρε, τῶν ἀθλοφόρων | τὸ ἀνίκητον θάρσος·
χαῖρε, στερρὸν τῆς πίστεως ἔρεισμα·
χαῖρε, λαμπρὸν τῆς χάριτος γνώρισμα·
χαῖρε, δι᾿ ἧς ἐγυμνώθη ὁ ᾅδης·
χαῖρε, δι᾿ ἧς ἐνεδύθημεν δόξαν·
χαῖρε, νύμφη ἀνύμφευτε.

Θεοδρόμον ἀστέρα | θεωρήσαντες μάγοι
τῇ τούτου ἠκολούθησαν αἴγλῃ·
καὶ ὡς λύχνον κρατοῦντες αὐτόν,
δι᾿ αὐτοῦ ἠρεύνων κραταιὸν | ἄνακτα·
καὶ φθάσαντες τὸν ἄφθαστον | ἐχάρησαν, αὐτῷ βοῶντες·
Ἀλληλούϊα.

Ἴδον παῖδες Χαλδαίων | ἐν χερσὶ τῆς παρθένου
τὸν πλάσαντα χειρὶ τοὺς ἀνθρώπους·
καὶ δεσπότην νοοῦντες αὐτόν,
εἰ καὶ δούλου ἔλαβε μορφήν, ἔσπευσαν
τοῖς δώροις θεραπεῦσαι καὶ | βοῆσαι τῇ εὐλογημένῃ·
χαῖρε, ἀστέρος ἀδύτου μήτηρ·
χαῖρε, αὐγὴ μυστικῆς ἡμέρας·
χαῖρε, τῆς ἀπάτης τὴν κάμινον σβέσασα·
χαῖρε, τῆς τριάδος τοὺς μύστας φωτίζουσα·

χαῖρε, τύραννον ἀπάνθρωπον | ἐκβαλοῦςα τῆς ἀρχῆς·
χαῖρε, κύριον φιλάνθρωπον | ἐπιδείξαςα Χριστόν·
χαῖρε, ἡ τῆς βαρβάρου | λυτρουμένη θρηςκείας·
χαῖρε, ἡ τοῦ βορβόρου | ῥυομένη τῶν ἔργων·
χαῖρε, πυρὸς προςκύνηςιν παύςαςα·
χαῖρε, φλογὸς παθῶν ἀπαλλάττουςα·
χαῖρε, πιςτῶν ὁδηγὲ ςωφροςύνης·
χαῖρε, παςῶν γενεῶν εὐφροςύνη·
χαῖρε, νύμφη ἀνύμφευτε.

Κήρυκες θεοφόροι | γεγονότες οἱ μάγοι
ὑπέςτρεψαν εἰς τὴν Βαβυλῶνα,
ἐκτελέςαντές ςου τὸν χρηςμὸν
καὶ κηρύξαντές ςε τὸν Χριςτὸν ἅπαςιν,
ἀφέντες τὸν Ἡρώδην ὡς ληρώδη, | μὴ εἰδότα ψάλλειν·
Ἀλληλούϊα.

Λάμψας ἐν τῇ Αἰγύπτῳ | φωτιςμὸν ἀληθείας
ἐδίωξας τοῦ ψεύδους τὸ ςκότος·
τὰ γὰρ εἴδωλα ταύτης, ςωτήρ,
μὴ ἐνέγκαντά ςου τὴν ἰςχὺν πέπτωκεν·
οἱ τούτων δὲ ῥυςθέντες | ἐβόων πρὸς τὴν θεοτόκον·
χαῖρε, ἀνόρθωςις τῶν ἀνθρώπων·
χαῖρε, κατάπτωςις τῶν δαιμόνων·
χαῖρε, τῆς ἀπάτης τὴν πλάνην πατήςαςα·
χαῖρε, τῶν εἰδώλων τὸν δόλον ἐλέγξαςα·
χαῖρε, θάλαςςα ποντίςαςα | Φαραὼ τὸν νοητόν·
χαῖρε, πέτρα ἡ ποτίςαςα | τοὺς διψῶντας τὴν ζωήν·
χαῖρε, πύρινε ςτύλε | ὁδηγῶν τοὺς ἐν ςκότει·
χαῖρε, ςκέπη τοῦ κόςμου, | πλατυτέρα νεφέλης·
χαῖρε, τροφὴ τοῦ μάννα διάδοχε·
χαῖρε, τρυφῆς ἁγίας διάκονε·
χαῖρε, ἡ γῆ τῆς ἐπαγγελίας·
χαῖρε, ἐξ ἧς ῥέει μέλι καὶ γάλα·
χαῖρε, νύμφη ἀνύμφευτε.

Μέλλοντος Συμεῶνος | τοῦ παρόντος αἰῶνος
μεθίςταςθαι τοῦ ἀπατεῶνος,
ἐπεδόθης ὡς βρέφος αὐτῷ,
ἀλλ᾿ ἐγνώςθης τούτῳ καὶ θεὸς τέλειος·
διόπερ ἐξεπλάγη ςου | τὴν ἄπειρον ςοφίαν κράζων·
Ἀλληλούϊα.

142 fort. ἡ γαῖα vel ἡ γῆ ἡ

Νέαν ἔδειξε κτίσιν | ἐμφανίσας ὁ κτίστης
ἡμῖν τοῖς ὑπ' αὐτοῦ γενομένοις,
ἐξ ἀσπόρου βλαστήσας γαστρὸς
καὶ φυλάξας ταύτην, ὥσπερ ἦν, ἄφθορον,
ἵνα τὸ θαῦμα βλέποντες | ὑμνήσωμεν αὐτὴν βοῶντες·
χαῖρε, τὸ ἄνθος τῆς ἀφθαρσίας·
χαῖρε, τὸ στέφος τῆς ἐγκρατείας·
χαῖρε, ἀναστάσεως τύπον ἐκλάμπουσα·
χαῖρε, τῶν ἀγγέλων τὸν βίον ἐμφαίνουσα·
χαῖρε, δένδρον ἀγλαόκαρπον, | ἐξ οὗ τρέφονται πιστοί·
χαῖρε, ξύλον εὐσκιόφυλλον, | ὑφ' οὗ σκέπονται πολλοί·
χαῖρε, κυοφοροῦσα | ὁδηγὸν πλανωμένοις·
χαῖρε, ἀπογεννῶσα | λυτρωτὴν αἰχμαλώτοις·
χαῖρε, κριτοῦ δικαίου δυσώπησις·
χαῖρε, πολλῶν πταιόντων συγχώρησις·
χαῖρε, στολὴ τῶν γυμνῶν παρρησίας·
χαῖρε, στοργὴ πάντα πόθον νικῶσα·
χαῖρε, νύμφη ἀνύμφευτε.

Ξένον τόκον ἰδόντες | ξενωθῶμεν τοῦ κόσμου,
τὸν νοῦν εἰς οὐρανὸν μεταθέντες·
διὰ τοῦτο γὰρ ὁ ὑψηλὸς θεὸς
ἐπὶ γῆς ἐφάνη ταπεινὸς ἄνθρωπος,
βουλόμενος ἑλκύσαι πρὸς τὸ ὕψος | τοὺς αὐτῷ βοῶντας·
Ἀλληλούϊα.

Cαλπιcάτωcαν | τῇ cάλπιγγι τοῦ πνεύματος
ὄρη οὐράνια,
ἀγαλλιάcθωcαν | βουνοί, καὶ cκιρτάτωcαν
θεῖοι ἀπόcτολοι· | ἡ πανήγυρις
τῆc θεοτόκου cήμερον· | μυcτικῶc εὐωχηθῶμεν.

Ἡ πανίεροc | μετάcταcιc τῆc θείαc cου
καὶ ἀκηράτου μητρὸc
τὰ ὑπερκόcμια | τῶν ἄνω δυνάμεων
ἤθροιcε τάγματα | cυνευφραίνεcθαι
τοῖc ἐπὶ γῆc cε μέλπουcιν· | ὁ θεὸc εὐλογητὸc εἶ.

ᾠδὴ η΄.

Παῖδαc εὐαγεῖc ἐν τῇ καμίνῳ
ὁ τόκοc τῆc θεοτόκου διεcώcατο·
τότε μὲν τυπούμενοc, | νῦν δὲ ἐνεργούμενοc
τὴν οἰκουμένην ἅπαcαν | ἐγείρει ψάλλουcαν·
τὸν κύριον ὑμνεῖτε τὰ ἔργα
καὶ ὑπερυψοῦτε | εἰc πάνταc τοὺc αἰῶναc.

Τὴν μνήμην cου, ἄχραντε παρθένε,
ἀρχαί τε καὶ ἐξουcίαι cὺν δυνάμεcιν,
ἄγγελοι, ἀρχάγγελοι, | θρόνοι, κυριότητεc,
τὰ Χερουβὶμ δοξάζουcι | καὶ τὰ φρικτὰ Cεραφίμ·
ἀνθρώπων δὲ τὸ γένοc ὑμνοῦμεν
καὶ ὑπερυψοῦμεν | εἰc πάνταc τοὺc αἰῶναc,

Ὁ ξένωc οἰκήcαc, θεοτόκε,
ἐν τῇ ἀχράντῳ νηδύϊ cου cαρκούμενοc,
οὗτοc τὸ πανίερον | πνεῦμά cου δεξάμενοc
ἐν ἑαυτῷ κατέπαυcεν ὡc ὀφειλέτηc υἱόc·
διό cε, τὴν παρθένον, ὑμνοῦμεν
καὶ ὑπερυψοῦμεν | εἰc πάνταc τοὺc αἰῶναc.

Ὢ τῶν ὑπὲρ ἔννοιαν θαυμάτων
τῆc ἀειπαρθένου τε καὶ θεcμήτοροc·
τάφον γὰρ οἰκήcαcα | ἔδειξε παράδειcον·
ᾧ παρεcτῶτεc cήμερον χαίροντεc ψάλλομεν·
τὸν κύριον ὑμνεῖτε τὰ ἔργα
καὶ ὑπερυψοῦτε | εἰc πάνταc τοὺc αἰῶναc.

---

106 ἀγαλλιάcθωcαν νῦν Barth. — 107 ἡ βαcίλιccα πρὸc τὸν υἱὸν μεθίcταται cὺν αὐτῷ ἀεὶ κρατοῦcα Barth. — 115 διεcώζετο A — 117 ἐγείρει Ven.: ἤγειρε A ἀγείρει Barth. — ψάλλειν cοι Ven. — 119 ὑπερυψοῦτε αὐτὸν εἰc τοὺc A — 121 καὶ δυνάμειc A contra modorum concinnitatem — 126 ξένοc A — 128 cῶμα legisse videtur scholiasta.

ᾠδὴ θ΄.

Ἅπας γηγενὴς | σκιρτάτω τῷ πνεύματι
λαμπαδοχούμενος·
πανηγυριζέτω δὲ | ἀΰλων νόων φύσις γεραίρουσα
τὴν ἱερὰν μετάστασιν | τῆς θεομήτορος,
καὶ βοάτω· | χαίροις, παμμακάριστε
θεοτόκε ἁγνή, ἀειπάρθενε.

Δεῦτε ἐν Σιὼν, | τῷ θείῳ καὶ πίονι
ὄρει τοῦ ζῶντος θεοῦ,
ἀγαλλιασώμεθα | τὴν θεοτόκον ἐνοπτριζόμενοι·
πρὸς γὰρ τὴν λίαν κρείττονα | καὶ θειοτέραν σκηνὴν
ὡς μητέρα | ταύτην εἰς τὰ ἅγια
τῶν ἁγίων Χριστὸς μετατίθησι.

Δεῦτε οἱ πιστοὶ | τῷ τάφῳ προσέλθωμεν
τῆς θεομήτορος·
καὶ περιπτυξώμεθα | καρδίας χείλη, ὄμματα, μέτωπα
εἰλικρινῶς προσάπτοντες· | καὶ ἀρυσώμεθα
ἰαμάτων | ἄφθονα χαρίσματα,
ἐκ πηγῆς ἀεννάου βλυστάνοντα.

Δέχου παρ᾽ ἡμῶν | ᾠδὴν τὴν ἐξόδιον,
μῆτερ τοῦ ζῶντος θεοῦ·
καὶ τῇ φωτοφόρῳ σου | καὶ θείᾳ ἐπισκίασον χάριτι,
τῷ βασιλεῖ τὰ τρόπαια, | τῷ φιλοχρίστῳ λαῷ
τὴν εἰρήνην, | ἄφεσιν τοῖς μέλπουσι
καὶ ψυχῶν σωτηρίαν βραβεύουσα.

VIII

Κανὼν ἀναστάσιμος τῆς Ὀκτωήχου (Ὀκτ. σελ. 19)

ἦχος α΄.

ᾠδὴ α΄.

Σοῦ ἡ τροπαιοῦχος δεξιὰ
θεοπρεπῶς ἐν ἰσχύϊ δεδόξασται·
αὕτη γὰρ, ἀθάνατε, ἡ πανσθενὴς
ὑπεναντίους ἔθραυσε,
τοῖς Ἰσραηλίταις
ὁδὸν βυθοῦ καινουργήσασα.

Ὁ χερσὶν ἀχράντοις ἐκ χοὸς
θεουργικῶς κατ᾽ ἀρχὰς διαπλάσας με
χεῖρας διεπέτασας ἐν τῷ σταυρῷ,
ἐκ γῆς ἀνακαλούμενος
τὸ φθαρέν μου σῶμα,
ὃ ἐκ παρθένου προσείληφας.

140 γεραίρουσαν A — 146 ἀγαλλιασόμεθα A — 153 ἀρευσώμεθα A — 155 βλυστάζοντα A — 161 βραβεύουσαν A

Canon octava quaque dominica inter diem festum Omnium sanctorum et Paschatis cantari vel recitari solet — Codd. AD — v. 3 ἀθάνατε ex ἀθάνατος corr. A

Νέκρωϲιν ὑπέϲτη δι' ἐμὲ
καὶ τὴν ψυχὴν τῷ θανάτῳ προδίδωϲιν
ὁ ἐμπνεύϲει θείᾳ ψυχήν μοι ἐνθεὶϲ,
καὶ λύϲαϲ αἰωνίων δεϲμῶν
καὶ ϲυναναϲτήϲαϲ
τῇ ἀφθαρϲίᾳ ἐδόξαϲεν.

Χαῖρε, ἡ τῆϲ χάριτοϲ πηγή,
χαῖρε, ἡ κλίμαξ καὶ πύλη οὐράνιοϲ·
χαῖρε, ἡ λυχνία καὶ ϲτάμνοϲ χρυϲῆ
καὶ ὄροϲ ἀλατόμητον,
ἡ τὸν ζωοδότην
Χριϲτὸν τῷ κόϲμῳ κυήϲαϲα.

ᾠδὴ γ΄.

Ὁ μόνοϲ εἰδὼϲ τῆϲ τῶν βροτῶν
οὐϲίαϲ τὴν ἀϲθένειαν,
καὶ ϲυμπαθῶϲ αὐτὴν μορφωϲάμενοϲ
περίζωϲόν με ἐξ ὕψουϲ δύναμιν
τοῦ βοᾶν ϲοι· ἅγιοϲ | ὁ ναὸϲ ὁ ἔμψυχοϲ
τῆϲ ἀφράϲτου ϲου δόξηϲ, φιλάνθρωπε.

Θεόϲ μου ὑπάρχων, ἀγαθέ,
πεϲόντα κατῳκτείρηϲαϲ
καὶ καταβῆναι πρόϲ με ηὐδόκηϲαϲ
ἀνύψωϲάϲ τε διὰ ϲταυρώϲεωϲ
τοῦ βοᾶν ϲοι· ἅγιοϲ | ὁ τῆϲ δόξηϲ κύριοϲ,
ὁ ἀνείκαϲτοϲ ἐν ἀγαθότητι.

Ζωὴ ἐνυπόϲτατοϲ, Χριϲτέ,
ὑπάρχων καὶ φθαρέντα με
ὁ ϲυμπαθὴϲ θεὸϲ ἐνδυϲάμενοϲ
εἰϲ χοῦν θανάτου καταβὰϲ, δέϲποτα,
τὸ θνητὸν διέρρηξαϲ
καὶ νεκρὸϲ τριήμεροϲ
ἀναϲτὰϲ ἀφθαρϲίαν ἠμφίεϲαϲ.

Θεὸν ϲυλλαβοῦϲα ἐν γαϲτρί,
παρθένε, διὰ πνεύματοϲ
τοῦ παναγίου ἔμειναϲ ἄφλεκτοϲ·
ἐπεί ϲε βάτοϲ τῷ νομοθέτῃ Μωϲεῖ
φλεγομένη ἄκαυϲτα | ϲαφῶϲ προεμήνυϲε
τὴν τὸ πῦρ δεξαμένην τὸ ἄϲτεκτον.

ᾠδὴ δ΄.

Ὄροϲ ϲε τῇ χάριτι τῇ θείᾳ κατάϲκιον
προβλεπτικοῖϲ ὁ Ἀββακοὺμ
κατανοήϲαϲ ὀφθαλμοῖϲ,
ἐκ ϲοῦ ἐξελεύϲεϲθαι
τοῦ Ἰϲραὴλ προανεφώνει τὸν ἅγιον
εἰϲ ϲωτηρίαν ἡμῶν καὶ ἀνάπλαϲιν.

Τίϲ οὗτοϲ ϲωτὴρ ὁ ἐξ Ἐδὼμ ἀφικόμενοϲ
ϲτεφηφορῶν ἐξ ἀκανθῶν
πεφοινιγμένοϲ τὴν ϲτολὴν
ἐν ξύλῳ κρεμάμενοϲ;
τοῦ Ἰϲραὴλ ὑπάρχει οὗτοϲ ὁ ἅγιοϲ
εἰϲ ϲωτηρίαν ἡμῶν καὶ ἀνάπλαϲιν.

Ἴδετε λαὸϲ τῶν ἀπειθῶν καὶ αἰϲχύνθητε·
ὃν ὡϲ κακοῦργον γὰρ ὑμεῖϲ
ἀναρτηθῆναι ἐν ϲταυρῷ
Πιλάτον ᾐτήϲαϲθε
φρενοβλαβῶϲ, θανάτου λύϲαϲ τὴν δύναμιν
θεοπρεπῶϲ ἐξανέϲτη τοῦ μνήματοϲ.

Ξύλον ϲε, παρθένε, τῆϲ ζωῆϲ ἐπιϲτάμεθα·
οὐ γὰρ τῆϲ γνώϲεωϲ καρπὸϲ
θανατηφόροϲ τοῖϲ βροτοῖϲ
ἐκ ϲοῦ ἀνεβλάϲτηϲεν,
ἀλλὰ ζωῆϲ τῆϲ ἀϊδίου ἀπόλαυϲιϲ
εἰϲ ϲωτηρίαν ἡμῶν τῶν ὑμνούντων ϲε.

---

15 ἐδόξαϲαϲ A — 26 ἀχράντου Oct. — 30 τε D: δὲ A με Oct. — 31 ὁ ναὸϲ ὁ ἔμψυχοϲ ὁ ἀνεικ. D — 35 ὡϲ ϲυμπ. D — 37 νεκροὺϲ Oct. — 38 ἠμφίεϲεν A — 43 φλεγομένην Oct. — 45 unum tantum versum hirmi huius et sequentis carminis exaratum exhibet D, quo cum accedat sententia parum cum reliquis strophis conexa, hirmos si minus omnes, at certe aliquot huius canonis ab Ioanne Damasceno extrinsecus adscitos esse iudico — 48 ἐκ ϲοῦ A m. pr.: ἐξ οὗ A m. sec. — ἐξελεύϲεϲθαι ex ἐξελεύϲεται, ut videtur, corr. A — 53 πεφοινιγμένοϲ ex πεφοινημένοϲ corr. A — 60 Πιλάτον D: Πιλάτῳ A — 64 βρώϲεωϲ D

ᾠδὴ ε΄.

Ὁ φωτίσας
τῇ ἐλλάμψει τῆς σῆς παρουσίας
καὶ φαιδρύνας [Χριστέ,
τῷ σταυρῷ σου τοῦ κόσμου τὰ πέρατα,
τὰς καρδίας φώτισον φωτὶ
τῆς σῆς θεογνωσίας
τῶν ὀρθοδόξως ὑμνούντων σε.

Τὸν ποιμένα
τῶν προβάτων τὸν μέγαν καὶ κύριον
Ἰουδαῖοι
διὰ ξύλου σταυροῦ ἐθανάτωσαν·
ἀλλ᾽ αὐτὸς ὡς πρόβατα νεκροὺς
ἐν ᾅδῃ τεθαμμένους
κράτους θανάτου ἐρρύσατο.

Τῷ σταυρῷ σου
τὴν εἰρήνην εὐαγγελισάμενος
καὶ κηρύξας
αἰχμαλώτοις, σωτήρ μου, τὴν ἄφεσιν
τὸν κρατοῦντα ᾔσχυνας, Χριστέ,
γυμνὸν ἠπορημένον
δείξας τῇ θείᾳ ἐγέρσει σου.

Τὰς αἰτήσεις
τῶν πιστῶς αἰτουμένων, πανύμνητε,
μὴ παρίδῃς,
ἀλλὰ δέχου καὶ ταύτας προσάγαγε
τῷ υἱῷ σου, ἄχραντε, θεῷ,
τῷ μόνῳ εὐεργέτῃ·
σὲ γὰρ προστάτιν κεκτήμεθα.

ᾠδὴ ϛ΄.

Ἐκύκλωσεν ἡμᾶς ἐσχάτη ἄβυσσος,
οὐκ ἔστιν ὁ ῥυόμενος·
ἐλογίσθημεν ὡς πρόβατα σφαγῆς·
σῶσον τὸν λαόν σου ὁ θεὸς ἡμῶν·
σὺ γὰρ ἰσχὺς | τῶν ἀσθενούντων
καὶ ἐπανόρθωσις.

Τῷ πταίσματι τοῦ πρωτοπλάστου, κύ-
δεινῶς ἐτραυματίσθημεν, [ριε,
τῷ δὲ μώλωπι ἰάθημεν τῷ σῷ,
ᾧ ὑπὲρ ἡμῶν ἐτραυματίσθης, Χριστέ·
σὺ γὰρ ἰσχὺς | τῶν ἀσθενούντων
καὶ ἐπανόρθωσις.

Ἀνήγαγες ἡμᾶς ἐξ ᾅδου, κύριε,
τὸ κῆτος χειρωσάμενος
τὸ παμφάγον, παντοδύναμε, τῷ σῷ
κράτει καθελὼν αὐτοῦ τὴν δύναμιν·
σὺ γὰρ ζωὴ | καὶ φῶς ὑπάρχεις
καὶ ἡ ἀνάστασις.

Εὐφραίνονται ἐν σοί, παρθένε ἄχραντε,
τοῦ γένους οἱ προπάτορες,
τὴν Ἐδὲμ ἀπολαβόντες διὰ σοῦ,
ἣν ἐκ παραβάσεως ἀπώλεσαν·
σὺ γὰρ ἁγνὴ | καὶ πρὸ τοῦ τόκου
καὶ μετὰ γέννησιν.

ᾠδὴ ζ΄.

Σὲ νοητήν, | θεοτόκε, κάμινον
κατανοοῦμεν οἱ πιστοί·
ὡς γὰρ παῖδας ἔσωσε τρεῖς,
ὁ ὑπερυψούμενος | κόσμον ἀνεκαίνισεν
ἐν τῇ γαστρί σου ὁλόκληρον,
ὁ αἰνετὸς τῶν πατέρων
θεὸς καὶ ὑπερένδοξος.

Ἔφριξε γῆ, | ἀπεστράφη ἥλιος
καὶ συνεσκότασε τὸ φῶς·
διερράγη τὸ τοῦ ναοῦ
θεῖον καταπέτασμα,
πέτραι δὲ ἐσχίσθησαν·

81 τεθειμένας D — 87 ἴσχυνας A — 90 loco eius, quod ex D repetivimus, in cod. A hoc theotokion exaratum est: Εὐφραίνονται οὐρανῶν αἱ δυνάμεις ὁρῶσαί σε· ἀγάλλονται σὺν αὐταῖς τῶν βροτῶν τὰ συστήματα· τῷ γὰρ τόκῳ ἥνωνται τῷ σωτῆρι παρθένε θεοτόκε· ὃν ἐπαξίως δοξάζομεν, cuius numeri parum expediti sunt. — 108 τὸ κῆτος . . . τὸ παμφάγον ex τοῦ κήτους . . . τοῦ παμφάγου, ut videtur, corr. A — 120 ὅλον με τὸν ἄνθρωπον, ἐν τῇ γαστρί σου ἀνέπλασεν Oct.

διὰ σταυροῦ γὰρ ἤρθη ὁ δίκαιος,
ὁ αἰνετὸϲ τῶν πατέρων
θεὸϲ καὶ ὑπερένδοξοϲ.

Cὺ γεγονὼϲ | ὡϲεὶ ἀβοήθητοϲ
καὶ τραυματίαϲ ἐν νεκροῖϲ
ἑκουϲίωϲ τὸ καθ᾽ ἡμᾶϲ,
ὁ ὑπερυψούμενοϲ
πάνταϲ ἠλευθέρωϲαϲ
καὶ κραταιᾷ χειρὶ ϲυνανέϲτηϲαϲ,
ὁ αἰνετὸϲ τῶν πατέρων
θεὸϲ καὶ ὑπερένδοξοϲ.

Χαῖρε, πηγὴ | ἀειζώου νάματοϲ·
χαῖρε, παράδειϲε τρυφῆϲ·
χαῖρε, τεῖχοϲ τὸ τῶν πιϲτῶν·
χαῖρε, ἀπειρόγαμε·
χαῖρε, ἡ παγκόϲμιοϲ χαρά,
δι᾽ ἧϲ ἡμῖν ἐξανέτειλεν
ὁ αἰνετὸϲ τῶν πατέρων
θεὸϲ καὶ ὑπερένδοξοϲ.

ᾠδὴ η΄.

Ἐν καμίνῳ παῖδεϲ Ἰϲραήλ, | ὡϲ ἐν χωνευτηρίῳ,
τῷ κάλλει τῆϲ εὐϲεβείαϲ | καθαρώτερον χρυϲοῦ
ἀπέϲτιλβον ψάλλοντεϲ·
εὐλογεῖτε πάντα τὰ ἔργα | τὸν κύριον, ὑμνεῖτε
καὶ ὑπερυψοῦτε εἰϲ πάνταϲ τοὺϲ αἰῶναϲ.

Ὁ βουλήϲει ἅπαντα ποιῶν, | ὁ καὶ μεταϲκευάζων,
ἐκτρέπων ϲκιὰν θανάτου | εἰϲ αἰώνιον ζωὴν
τῷ πάθει ϲου, λόγε θεοῦ,
ϲὲ ἀπαύϲτωϲ πάντα τὰ ἔργα | τὸν κύριον ὑμνοῦμεν
καὶ ὑπερυψοῦμεν εἰϲ πάνταϲ τοὺϲ αἰῶναϲ.

Cὺ καθεῖλεϲ ϲύντριμμα, Χριϲτέ, | καὶ τὴν ταλαιπωρίαν
ἐν πύλαιϲ καὶ ὀχυρώμαϲι τοῦ ᾅδου ἀναϲτὰϲ
ἐκ τάφου τριήμεροϲ·
ϲὲ ἀπαύϲτωϲ πάντα τὰ ἔργα | τὸν κύριον ὑμνοῦϲι
καὶ ὑπερυψοῦϲιν εἰϲ πάνταϲ τοὺϲ αἰῶναϲ.

Τὴν ἀϲπόρωϲ καὶ ὑπερφυῶϲ | ἐξ ἀϲτραπῆϲ τῆϲ θείαϲ
τεκοῦϲαν τὸν μαργαρίτην | τὸν πολύτιμον, Χριϲτόν,
ὑμνήϲωμεν λέγοντεϲ·
εὐλογεῖτε πάντα τὰ ἔργα | τὸν κύριον, ὑμνεῖτε
καὶ ὑπερυψοῦτε εἰϲ πάνταϲ τοὺϲ αἰῶναϲ.

---

127 ἦρται D — vv. 127 et 133 voce bisyllaba abundant. — 135 cod. D hoc alterum exhibet theotokion: Χαῖρε ϲεμνή, τοῦ Ἀδὰμ τὸ κῴδιον, ἐξ οὗ προῆλθεν ὁ ποιμήν, ἐνδυόμενοϲ ἀληθῶϲ, ὅλον με τὸν ἄνθρωπον, ὁ ὑπερυψούμενοϲ, δι᾽ εὐϲπλαγχνίαν ἀκατάληπτον, ὁ αἰνετὸϲ τῶν πατέρων. — 138 numeris reliquarum stropharum incisio ante vocabulum χαρά commendatur. — 143 ψάλλοντεϲ D: λέγοντεϲ A — 144 post ἔργα et in hac et in quarta stropha κυρίου add. Oct. — 145 ὑπερυψοῦτε αὐτὸν εἰϲ τοὺϲ A, in reliquis strophis cum Oct. conspirat cod. A, cod. D extrema verba strophae omisit — 149 ὡϲ κύριον in secunda et tertia stropha Oct. — exspectamus ὑμνοῦϲι καὶ ὑπερυψοῦϲι — 156 loco eius, quod ex cod. D recepimus, cod. A hoc alterum exhibet theotokion: χαῖρε θρόνε ἔνδοξε θεοῦ, πιϲτῶν χαῖρε τὸ τεῖχοϲ, δι᾽ ἧϲ φῶϲ τοῖϲ ἐν ϲκότει ἐξανέτειλε Χριϲτόϲ, τοῖϲ ϲὲ μακαρίζουϲι καὶ βοῶϲιν· πάντα τὰ ἔργα τὸν κύριον ὑμνεῖτε καὶ ὑπερυψοῦτε

ᾠδὴ θ΄.

Τύπον τῆς ἁγνῆς λοχείας σου
πυρπολουμένη βάτος ἔδειξεν ἄφλεκτος·
καὶ νῦν καθ᾽ ἡμῶν | τῶν πειρασμῶν ἀγριαίνουσαν
κατασβέσαι αἰτοῦμεν τὴν κάμινον,
ἵνα σε, θεοτόκε, | ἀκαταπαύστως μεγαλύνωμεν.

Ὢ πῶς ὁ λαὸς ὁ ἄνομος,
ὁ ἀπειθὴς καὶ πονηρὰ βουλευσάμενος
τὸν ἀλάστορα | καὶ ἀσεβῆ ἐδικαίωσε,
τὸν δὲ δίκαιον ξύλῳ κατέκρινε,
τὸν κύριον τῆς δόξης, | ὃν ἐπαξίως μεγαλύνομεν.

Σῶτερ ὁ ἀμνὸς ὁ ἄμωμος,
ὁ τὴν τοῦ κόσμου ἁμαρτίαν ἀράμενος,
σὲ δοξάζομεν, | τὸν ἀναστάντα τριήμερον,
σὺν πατρὶ καὶ τῷ θείῳ σου πνεύματι,
καὶ κύριον τῆς δόξης | θεολογοῦντες μεγαλύνομεν.

Σῶσον τὸν λαόν σου, κύριε,
ὅνπερ ἐκτήσω τῷ τιμίῳ σου αἵματι,
κατ᾽ ἐχθρῶν ἰσχὺν | τῷ βασιλεῖ χαριζόμενος
καὶ ταῖς σαῖς ἐκκλησίαις, φιλάνθρωπε,
βραβεύων τὴν εἰρήνην | τῆς θεοτόκου ταῖς ἐντεύξεσιν.

ΘΕΟΦΑΝΟΥΣ

I

Κανὼν εἰς τὸν Εὐαγγελισμὸν τῆς θεοτόκου (Μαρτ. 25).

Ἡ ἀκροστιχὶς κατ᾽ ἀλφάβητον.

ἦχος δ΄.

ᾠδὴ α΄.

κατὰ τὸ «Ἀνοίξω τὸ στόμα μου.»

Ἀιδέτω σοι, δέσποινα, ¦ κινῶν τὴν λύραν τοῦ πνεύματος
Δαυῒδ ὁ προπάτωρ σου· ¦ ἄκουσον, θύγατερ,

161 τύπος A — 162 πυρπολουμένην βάτον ἔδειξεν ἄφλεκτον A — 174 πατρί τε Oct. contra numerorum aequalitatem. — 175 δόξης ὃν ἐπαξίως A — 176 loco eius quod ex cod. D recepimus cod. A hoc theotokion exhibet: Ἅπας ἐγκωμίων, πάναγνε, νόμος ἡττᾶται τῷ μεγέθει τῆς δόξης σου· ἀλλὰ δέσποινα παρ᾽ οἰκετῶν ἀναξίων σου, ἐξ εὐνοίας δὲ σοὶ προσφερόμενον (scr. προσφερομένων) προσδέχου, θεοτόκε, μετ᾽ εὐμενοίας (scr. εὐμενείας) τὸ ἐφύμνιον.

Duae extremae huius canonis odae ab Ioanne Monacho compositae esse feruntur, unde intellegitur, qua de causa inde ab octava oda novus literarum in initiis singulorum versuum collocatarum ordo ordiatur — Cod. A — v. 1 Psalm. XLIV 11

τὴν χαρμόϲυνον | φωνὴν πρὸϲ τοῦ ἀγγέλου·
χαρὰν γὰρ μηνύει ϲοι | τὴν ἀνεκλάλητον.

Ὁ ἄγγελοϲ.

Βοῶ ϲοι γηθόμενοϲ· | κλῖνον τὸ οὖϲ ϲου· καὶ πρόϲχεϲ μοι
θεοῦ καταγγέλλοντι | ϲύλληψιν ἄϲπορον·
εὗρεϲ χάριν γὰρ | ἐνώπιον κυρίου,
ἣν εὗρεν οὐδέποτε | ἄλλη τιϲ, πάναγνε.

Ἡ θεοτόκοϲ.

Γνωϲθήτω μοι, ἄγγελε, | τῶν ϲῶν ῥημάτων ἡ δύναμιϲ·
πῶϲ ἔϲται ὃ εἴρηκαϲ; | λέγε ϲαφέϲτατα,
πῶϲ ϲυλλήψομαι | παρθένοϲ οὖϲα κόρη;
πῶϲ δὲ καὶ γενήϲομαι | μήτηρ τοῦ κτίϲαντοϲ;

Ὁ ἄγγελοϲ.

Δολίωϲ με φθέγγεϲθαι | διαλογίζῃ, ὡϲ ἔοικε,
καὶ χαίρω θεώμενοϲ | τὴν ϲὴν ἀϲφάλειαν·
θάρϲει, δέϲποινα· | θεοῦ γὰρ βουλομένου
ῥᾳδίωϲ περαίνεται | καὶ τὰ παράδοξα.

ᾠδὴ γ΄.
κατὰ τὸ «Τοὺϲ ϲοὺϲ ὑμνολόγουϲ.»

Ἡ θεοτόκοϲ.

Ἐξέλιπεν ἄρχων ἐξ Ἰούδα, | ὁ χρόνοϲ ἐπέϲτη δὲ λοιπόν,
καθ᾽ ὃν ἀναφανήϲεται | ἡ τῶν ἐθνῶν ἐλπὶϲ, ὁ Χριϲτόϲ·
ϲὺ δὲ, πῶϲ τοῦτον τέξομαι | παρθένοϲ οὖϲα, ϲαφήνιϲον.

Ὁ ἄγγελοϲ.

Ζητεῖϲ παρ᾽ ἐμοῦ γνῶναι, παρθένε, | τὸν τρόπον ϲυλλήψεωϲ τῆϲ ϲῆϲ·
ἀλλ᾽ οὗτοϲ ἀνερμήνευτοϲ· | τὸ πνεῦμα δὲ τὸ ἅγιον
δημιουργῷ δυνάμει ϲοι | ἐπιϲκιάϲαν ἐργάϲεται.

Ἡ θεοτόκοϲ.

Ἡ ἐμὴ προμήτωρ δεξαμένη | τὴν γνώμην τοῦ ὄφεωϲ, τρυφῆϲ
τῆϲ θείαϲ ἐξωϲτράκιϲται· | διόπερ κἀγὼ δέδοικα
τὸν ἀϲπαϲμὸν τὸν ξένον ϲου, | εὐλαβουμένη τὸν ὄλιϲθον.

Ὁ ἄγγελοϲ.

Θεοῦ παραϲτάτηϲ ἀπεϲτάλην | τὴν θείαν μηνύϲαι ϲοι βουλήν·
τί με φοβῇ, πανάμωμε, | τὸν μᾶλλον ϲὲ φοβούμενον;
τί εὐλαβεῖ με, δέϲποινα, | τὸν ϲὲ ϲεπτῶϲ εὐλαβούμενον;

---

3 φωνὴν τὴν τοῦ Barth. — 6 γὰρ χάριν A, quo numerorum dulcedo minuitur — 9 malo ϲαφέϲτερον — 11 κτίϲτου μου Barth. — 15 τὰ om. A — 18 παρθένον A — 22 Genes. III — 25 μηνύϲων Barth. — ϲοι βουλὴν schol. cod. A Barth.: ϲυμβουλὴν A

ᾠδὴ δ'.
κατὰ τὸ «Ὁ καθήμενοϲ ἐν δόξῃ.»
Ἡ θεοτόκοϲ.

Ἱεράν τινα παρθένον | τεξομένην ἀκήκοα
τοῦ προφήτου πάλαι | τὸν Ἐμμανουὴλ προθεϲπίϲαντοϲ·
ἐπιποθῶ δὲ τὸ γνῶναι, | πῶϲ θεότητοϲ
τὴν ἀνάκραϲιν | φύϲιϲ βροτῶν ὑποϲτήϲεται;

Ὁ ἄγγελοϲ.

Κατεμήνυϲεν ἡ βάτοϲ | ἀκατάφλεκτοϲ μείναϲα
δεξαμένη φλόγα, | κεχαριτωμένη ἀνύμφευτε,
τοῦ κατὰ ϲὲ μυϲτηρίου | τὸ παράδοξον·
μετὰ τόκον γὰρ | μενεῖϲ, ἁγνή, ἀειπάρθενοϲ.

Ἡ θεοτόκοϲ.

Λαμπρυνόμενοϲ τῷ φέγγει | τοῦ θεοῦ παντοκράτοροϲ,
ἀληθείαϲ κήρυξ, | λέγε, Γαβριήλ, ἀληθέϲτατα·
πῶϲ ἀκηράτου μενούϲηϲ | τῆϲ ἁγνείαϲ μου
λόγον τέξομαι | μετὰ ϲαρκὸϲ τὸν ἀϲώματον;

Ὁ ἄγγελοϲ.

Μετὰ δέουϲ ϲοι ὡϲ δοῦλοϲ | τῇ κυρίᾳ παρίϲταμαι·
μετὰ φόβου, κόρη, | νῦν κατανοεῖν εὐλαβοῦμαί ϲε·
ὡϲ ὑετὸϲ ἐπὶ πόκον | καταβήϲεται
ἐπὶ ϲὲ λόγοϲ | ὁ τοῦ πατρόϲ, ὡϲ ηὐδόκηϲεν.

ᾠδὴ ε'.
κατὰ τὸ «Ἐξέϲτη τὰ ϲύμπαντα.»
Ἡ θεοτόκοϲ.

Νοεῖν ϲου οὐ δύναμαι | τῶν λόγων τὴν ἀκρίβειαν·
θαύματα γὰρ γέγονε πολλάκιϲ
θείᾳ δυνάμει | τερατουργούμενα,
ϲύμβολα καὶ τύποι νομικοί,
τέτοκε παρθένοϲ δὲ | ἀπειράνδρωϲ οὐδέποτε.

Ὁ ἄγγελοϲ.

Ξενίζῃ, πανάμωμε· | καὶ ξένον γὰρ τὸ θαῦμά ϲου·
μόνη γὰρ τὸν πάντων βαϲιλέα
δέξῃ ἐν μήτρᾳ | ϲαρκωθηϲόμενον·
καὶ ϲὲ προτυποῦϲι προφητῶν
ῥήϲειϲ καὶ αἰνίγματα | καὶ τοῦ νόμου τὰ ϲύμβολα.

29 προθεϲπίζοντα A, unde coniicias προθεϲπίζοντοϲ. cf. Ies. VII 14 — 30 τοῦ γνῶναι Barth. — 32 κατεμήνυεν A — 34 ἀπόρρητον Barth. — 35 μενεῖϲ γάρ A — 50 βαϲιλέαν A 51 μήτρα ϲου A

Ἡ θεοτόκος.

Ὁ πᾶσιν ἀχώρητος | καὶ πᾶσιν ἀθεώρητος
πῶς οὗτος δυνήσεται παρθένου
μήτραν οἰκῆσαι, | ἣν αὐτὸς ἔπλασε;
πῶς δὲ καὶ συλλήψομαι θεόν,
λόγον τὸν συνάναρχον | τῷ πατρὶ καὶ τῷ πνεύματι;

Ὁ ἄγγελος.

Πρὸς τὸν σὸν προπάτορα | Δαυῒδ ἐπαγγειλάμενος
θήσειν ἐκ καρποῦ τοῦ τῆς κοιλίας
ἐπὶ τοῦ θρόνου | τῆς βασιλείας αὐτοῦ,
τὴν τοῦ Ἰακὼβ σὲ καλλονὴν
μόνην ἐξελέξατο | λογικὸν ἐνδιαίτημα.

ᾠδὴ ς´
κατὰ τὸ «Ἐβόησε προτυπῶν.»

Ἡ θεοτόκος.

Ῥημάτων σου | τὴν φωνήν, Γαβριήλ, τὴν χαρμόσυνον
δεξαμένη | εὐφροσύνης ἐνθέου πεπλήρωμαι·
χαρὰν γὰρ μηνύεις | καὶ χαρὰν καταγγέλλεις τὴν ἄληκτον.

Ὁ ἄγγελος.

Σοὶ δέδοται | ἡ χαρά, θεομῆτορ, ἡ ἔνθεος·
σοὶ τὸ χαῖρε | πᾶσα κτίσις κραυγάζει, θεόνυμφε·
σὺ γὰρ μόνη μήτηρ | τοῦ υἱοῦ τοῦ θεοῦ προωρίσθης, ἁγνή.

Ἡ θεοτόκος.

Τῆς Εὔας νῦν | δι᾽ ἐμοῦ καταργείσθω κατάκριμα·
ἀποδότω | δι᾽ ἐμοῦ τὸ ὀφείλημα σήμερον·
δι᾽ ἐμοῦ τὸ χρέος | τὸ ἀρχαῖον δοθήτω πληρέστατον.

Ὁ ἄγγελος.

Ὑπέσχετο | ὁ θεὸς Ἀβραὰμ τῷ προπάτορι
εὐλογεῖσθαι | ἐν τῷ σπέρματι τούτου τὰ ἔθνη, ἁγνή·
διὰ σοῦ δὲ πέρας | ἡ ὑπόσχεσις δέχεται σήμερον.

ᾠδὴ ζ´.
κατὰ τὸ «Οὐκ ἐλάτρευσαν τῇ κτίσει.»

Ἡ θεοτόκος.

Φῶς τὸ ἄϋλον | μηνύων ὕλῃ σώματος
ἑνωθησόμενον
δι᾽ εὐσπλαγχνίαν πολλήν, | φαιδρὸν εὐαγγέλιον,
θεῖα κηρύγματα | νῦν κραυγάζεις μοι·
εὐλογημένος, πάναγνε, ὁ καρπὸς τῆς σῆς κοιλίας.

---

59 Luc. I 32 — 61 τὸν θρόνον Barth. — 62 καλονὴν A — 66 χαρὰν ἥκεις κομίζων A
74 Genes. XII 2—3.

Ὁ ἄγγελοϲ.

Χαῖρε, δέϲποινα | παρθένε, χαῖρε, πάναγνε·
χαῖρε, δοχεῖον θεοῦ·
χαῖρε, λυχνία φωτόϲ, | Ἀδὰμ ἡ ἀνάκληϲιϲ,
Εὔαϲ ἡ λύτρωϲιϲ, | ὄροϲ ἅγιον,
περιφανὲϲ ἁγίαϲμα | καὶ νυμφὼν ἀθαναϲίαϲ.

Ἡ θεοτόκοϲ.

Ψυχὴν ἥγνιϲε, | τὸ ϲῶμα καθηγίαϲε,
ναὸν εἰργάϲατο
χωρητικόν με θεοῦ, | ϲκηνὴν θεοκόϲμητον,
ἔμψυχον τέμενοϲ | ἡ ἐπέλευϲιϲ
τοῦ παναγίου πνεύματοϲ | καὶ ζωῆϲ ἁγνὴν μητέρα.

Ὁ ἄγγελοϲ.

Ὡϲ πολύφωτον | λαμπάδα καὶ θεότευκτον
παϲτάδα βλέπω ϲε·
νῦν ὡϲ χρυϲῆ κιβωτὸϲ | τοῦ νόμου τὸν πάροχον
δέχου, θεόνυμφε, | εὐδοκήϲαντα
τὴν τῶν ἀνθρώπων ῥύϲαϲθαι | διὰ ϲοῦ φθαρτὴν οὐϲίαν.

ᾠδὴ η'.
κατ' ἀλφάβητον.

Ὁ ἄγγελοϲ.

Ἄκουε, κόρη παρθένε ἁγνή,
εἰπάτω δὴ ὁ Γαβριήλ,
Βουλὴν ὑψίϲτου ἀρχαίαν ἀληθινήν.
Γενοῦ πρὸϲ ὑποδοχὴν ἑτοίμη θεοῦ·
Διὰ ϲοῦ γὰρ ὁ ἀχώρητοϲ
βροτοῖϲ ἀναϲτραφήϲεται·
διὸ καὶ χαίρων βοῶ·
εὐλογεῖτε πάντα τὰ ἔργα κυρίου τὸν κύριον.

Ἡ θεοτόκοϲ.

Ἔννοια πᾶϲα ἡττᾶται βροτῶν,
ἀντέφηϲεν ἡ παρθένοϲ,
Ζητοῦϲα ἅπερ μοι φθέγγῃ παράδοξα·
Ἥϲθην ϲου τοῖϲ λόγοιϲ, ἀλλὰ δέδοικα
Θαμβηθεῖϲα, μὴ ἀπάτῃ με
ὡϲ Εὔαν πόρρω πέμψῃϲ θεοῦ·
ἀλλ' ὅμωϲ ἤδη βοῶ·
εὐλογεῖτε πάντα τὰ ἔργα κυρίου τὸν κύριον.

Ὁ ἄγγελοϲ.

Ἴδε, ϲοι τὸ ἄπορον λέλυται,
φηϲὶ πρὸϲ ταῦτα [ὁ] Γαβριήλ·
Καλῶϲ γὰρ ἔφηϲ τὸ πρᾶγμα δυϲτέκμαρτον.
Λόγοιϲ ϲῶν χειλέων πειθαρχοῦϲα λοιπὸν
Μὴ ἀμφίβαλλε ὡϲ πλάϲματι,
ὡϲ πράγματι δὲ πίϲτευε·
ἐγὼ γὰρ χαίρων βοῶ·
εὐλογεῖτε πάντα τὰ ἔργα κυρίου τὸν κύριον.

---

86 καὶ ϲῶμα Barth. — 94 δέχου πανάμωμε Barth. — 101 ἀναϲτραφήϲεται Barth.: ϲυναναϲτρέφεται A — 103 Exclamatio εὐλογεῖτε κ. τ. λ. a reliqua stropharum parte ita disiuncta est, ut acrostichidis ordinem interrumpat — 110 ἤδη βοῶ] ἴδε βοᾷϲ et in hac et in quarta stropha Barth. — 112 nescio an τὸ vel ϲοι delendum sit — 113 ὁ cum superfluat uncinis inclusimus — 116 ἀμφίβαλε A

Ἡ θεοτόκος.

Νόμος οὗτος θεόθεν βροτοῖς,
ἡ ἄμεμπτος αὖθις φησί,
Ξυνοῦ ἐξ ἔρωτος τόκον προέρχεσθαι·
Οὐκ οἶδα συζύγου παντελῶς ἡδονήν·
Πῶς οὖν λέγεις, ὅτι τέξομαι;
φοβοῦμαι, μὴ ἀπάτῃ λαλῇς·
ἀλλ' ὅμως ἤδη βοῶ·
εὐλογεῖτε πάντα τὰ ἔργα κυρίου τὸν κύριον.

Ὁ ἄγγελος.

Ῥήματα, ἅπερ μοι φθέγγῃ, σεμνή,
ὁ ἄγγελος πάλιν βοᾷ,
Συνήθη πέλει λοχείας ἀνθρώπων θνητῶν·
Τὸν ὄντως θεόν σοι ἐπαγγέλλομαι
Ὑπὲρ λόγον τε καὶ ἔννοιαν
σαρκούμενον, ὡς οἶδεν αὐτός·
διὸ καὶ χαίρων βοῶ·
εὐλογεῖτε πάντα τὰ ἔργα κυρίου τὸν κύριον.

Ἡ θεοτόκος.

Φαίνῃ μοι ἀληθείας ῥήτωρ,
κατέθετο ἡ παρθένος·
Χαρᾶς κοινῆς γὰρ ἐλήλυθας ἄγγελος·
Ψυχὴν οὖν ἐπεὶ συγκαθήγνισμαι σώματι,
Ὡς τὸ ῥῆμά σου, γενέσθω μοι·
σκηνούτω ἐν ἐμοὶ ὁ θεός,
πρὸς ὃν βοῶ μετὰ σοῦ·
εὐλογεῖτε πάντα τὰ ἔργα κυρίου τὸν κύριον.

ᾠδὴ θ'.

κατ' ἀλφάβητον ἀντιστρόφως.

Ὡς ἐμψύχῳ θεοῦ κιβωτῷ
Ψαυέτω μηδαμῶς χεὶρ ἀμυήτων·
Χείλη δὲ πιστῶν τῇ θεοτόκῳ ἀσιγήτως
Φωνὴν τοῦ ἀγγέλου ἀναμέλποντα
ἐν ἀγαλλιάσει βοάτω·
χαῖρε κεχαριτωμένη·
ὁ κύριος μετὰ σοῦ.

Ὑπὲρ ἔννοιαν συλλαβοῦσα θεὸν
Τῆς φύσεως θεσμοὺς ἔλαθες, κόρη·
Σὺ γὰρ ἐν τῷ τίκτειν τὰ μητέρων διέδρας,
Ῥευστὴ φύσις καίπερ καθεστηκυῖα·
ὅθεν ἐπαξίως ἀκούεις·
χαῖρε κεχαριτωμένη·
ὁ κύριος μετὰ σοῦ.

Πῶς πηγάζεις γάλα, παρθένε ἁγνή;
Οὐ φέρει ἐξειπεῖν γλῶσσα βροτεία·
Ξένον γὰρ φύσεως ἐπιδείκνυσαι πρᾶγμα
Νομίμου γονῆς ὅρους ὑπερβαῖνον·
ὅθεν ἐπαξίως ἀκούεις·
χαῖρε κεχαριτωμένη·
ὁ κύριος μετὰ σοῦ.

Μυστικῶς ταῖς ἱεροτεύκτοις γραφαῖς
Λαλεῖται περὶ σοῦ, μῆτερ ὑψίστου·
Κλίμακα γὰρ πάλαι Ἰακὼβ σε προτυποῦσαν
Ἰδὼν ἔφη· βάσις θεοῦ αὕτη·
ὅθεν ἐπαξίως ἀκούεις·
χαῖρε κεχαριτωμένη·
ὁ κύριος μετὰ σοῦ.

Θαυμαστὸν τῷ ἱεροφάντῃ Μωσεῖ
Ἡ βάτος καὶ τὸ πῦρ ἔδειξε τέρας·
Ζητῶν δὲ τὸ πέρας εἰς διάβασιν χρόνου
Ἐν κόρῃ ἁγνῇ, ἔφη, κατοπτεύσω·

130 συνήθους Barth. — 133 ὡς οἶδεν αὐτὸς de coni. scripsimus· ὡς αὐτὸς οἶδεν ἐκ σοῦ A sed ἐκ σοῦ in rasura, ὡς οἶδεν ἐκ σοῦ Barth. — 136 fort.: τῆς ἀληθείας — 139 συγκαθήγνισμαι σώματι A cum schol.: καθήγνισμαι πνεύματι Barth. — 144 post ἐμψύχῳ vocabulum bisyllabum, ut οὔσῃ vel κόρῃ, excidisse videtur — 148 βοᾷ A cum rasura post α duarum vel trium syllabarum — 153 φύσις περ Barth. — 164 Genes. XXVIII 12—13. — 168 θαυμαστὸν A m. pr. Barth.: θαυμαστῶς A m. sec. — παράδοξον, post Μωσεῖ m. pr. additum, m. sec. delevit A — 169 Exod. III 2.

ἢ ὡϲ θεοτόκῳ λεχθείη·
χαῖρε κεχαριτωμένη·
ὁ κύριοϲ μετὰ ϲοῦ.

Δανιὴλ ϲε ὄροϲ καλεῖ νοητόν,
Γεννήτριαν θεοῦ ὁ Ἡϲαΐαϲ·
Βλέπει δὲ ὡϲ πόκον Γεδεών· ὁ Δαυῒδ δὲ
Ἁγίαϲμα φάϲκει, πύλην δέ ϲε ἄλλοϲ·
ὁ Γαβριὴλ δέ ϲοι κραυγάζει·
χαῖρε κεχαριτωμένη·
ὁ κύριοϲ μετὰ ϲοῦ.

ΙΩϹΗΦ ΤΟΥ ΥΜΝΟΓΡΑΦΟΥ

I

Κανὼν εἰϲ ἀνάμνηϲιν τοῦ ϲειϲμοῦ ἔτει 740 γεγονότοϲ (Ὀκτωβ. 26).

Ἡ ἀκροϲτιχίϲ:

«Ὦ Χριϲτέ, τῆϲ γῆϲ τὸν κλόνον παῦϲον τάχοϲ· Ἰωϲήφ.»

ἦχοϲ πλ. β'.

ᾠδὴ α'.

Ὡϲ φοβερὰ ἡ ὀργή ϲου, | ἐξ ἧϲ ἡμᾶϲ
ἐλυτρώϲω, κύριε, | μὴ ϲυγχώϲαϲ ἐν τῇ γῇ
ἅπαν τὸ ἀνάϲτημα ἡμῶν!
εὐχαρίϲτωϲ ϲε διὸ | ἀεὶ δοξάζομεν.

Χαίρων ἀεὶ καθ' ἑκάϲτην | τῇ παντελεῖ
διορθώϲει, δέϲποτα, | ὥϲπερ φύλλον εὐτελὲϲ
διαϲείειϲ ἅπαϲαν τὴν γῆν,
εἰϲ τὸν φόβον ϲου πιϲτοὺϲ | ϲτηρίζων, κύριε.

Ῥῦϲαι ϲειϲμοῦ βαρυτάτου | πάνταϲ ἡμᾶϲ
καὶ μὴ δώῃϲ, κύριε, | ἀπολέϲθαι παντελῶϲ
τὴν κληρονομίαν ϲου, πολλοῖϲ
παροργίζουϲαν κακοῖϲ | ϲὲ τὸν μακρόθυμον.

Ἱκετικῶϲ ϲοι βοῶμεν, | μῆτερ θεοῦ,
τὰ ϲυνήθη ϲπλάγχνα ϲου | ἐπὶ πόλιν καὶ λαὸν
ϲυμπαθῶϲ δεικνύουϲα ϲειϲμοῦ
βαρυτάτου καὶ φθορᾶϲ | ἡμᾶϲ ἀπάλλαξον.

---

173 Daniel II 35.45. — 175 Ies. VII 14. — 176 Iudic. VI 36–40. Psalm. CXXXI 18 — 177 Genes. XXVIII 17.

Odae primae hirmus legitur hic in Octoecho p. 119 ed. Ven.: Ὡϲ ἐν ἠπείρῳ πεζεύϲαϲ ὁ Ἰϲραὴλ | ἐν ἀβύϲϲῳ ἴχνεϲι | τὸν διώκτην Φαραὼ | καθορῶν ποντούμενον θεῷ | ἐπινίκιον ᾠδὴν ἐβόα ᾄϲωμεν. — v. 16 post hunc versum altera oda intercidit, quam a Iosepho melodo huic canoni insertam fuisse acrostichidis hoc loco facta lacuna docet.

ᾠδὴ γ΄.

Ἡ γῆ μαστίζεται, ἡμῶν | κακῶς διακειμένων
καὶ ἀεὶ τὴν ὀργήν σου | συγκινούντων καθ᾽ ἡμῶν,
οἰκτίρμον παμβασιλεῦ·
ἀλλὰ φεῖσαι, | δέσποτα, τῶν δούλων σου.

Ϲυσσείσας, κύριε, τὴν γῆν | ἐστερέωσας πάλιν,
νουθετῶν, ἐπιστρέφων, | τὴν ἀσθένειαν ἡμῶν
στηρίζεσθαι ἐν τῷ σῷ
θείῳ φόβῳ | θέλων, ὑπεράγαθε.

Γεννώσας θάνατον πικρὸν | καὶ σεισμοὺς βαρυτάτους
καὶ πληγὰς ἀνηκέστους | ἁμαρτίας, ἀδελφοί,
ἐκφύγωμεν καὶ θεὸν
μετανοίας | τρόποις ἐκμειλίξωμεν.

Ἡ μόνη οὖσα ἀγαθὴ | τὸν πανάγαθον λόγον
ἐκτενῶς ἐκδυσώπει | τῆς παρούσης τοῦ σεισμοῦ
ῥυσθῆναι πάντας ὀργῆς·
θεοτόκε | ἄχραντε, δεόμεθα.

ᾠδὴ δ΄.

Ϲαλεύεις, κύριε, | τὴν γῆν βουλόμενος
ἑδρασμῷ ἀληθείας | πάντας ἡμᾶς,
δέσποτα, στηρίζεσθαι | σαλευομένους προσβολαῖς
τοῦ δολίου πολεμήτορος.

Τῇ θείᾳ νεύσει σου | κλονεῖς τὰ σύμπαντα
καὶ δονεῖς τὰς καρδίας | τῶν ἐπὶ γῆς
κατοικούντων, δέσποτα· | τῆς οὖν δικαίας σου ὀργῆς
ἄνες, κύριε, τὰ κύματα.

Οὐδ᾽ ὅλως ἔχοντας | εἰς νοῦν τὸν φόβον σου
ἐκφοβεῖς τῇ κινήσει | πάσης τῆς γῆς,
μόνε εὐσυμπάθητε· | ἀλλὰ συνήθως ἐφ᾽ ἡμᾶς
τὰ ἐλέη σου θαυμάστωσον.

Ναόν σε, δέσποινα, | θεοῦ γινώσκοντες
ἐν ἁγίῳ ναῷ σου | χεῖρας οἰκτρὰς
αἴρομεν εἰς δέησιν· | ἴδε τὴν κάκωσιν ἡμῶν
καὶ παράσχου σὴν βοήθειαν.

17 tertiae huius odae hirmus exstat in Octoecho p. 120: Οὐκ ἔστιν ἅγιος ὡς σὺ | κύριος ὁ θεός μου | ὁ ὑψώσας τὸ κέρας | τῶν πιστῶν σου ἀγαθὲ | καὶ στερεώσας ἡμᾶς | ἐν τῇ πέτρᾳ | τῆς ὁμολογίας σου. — 33 Quartae odae hirmus exstat in Octoecho p. 121: Χριστός μοι δύναμις | θεὸς καὶ κύριος | ἡ σεπτὴ ἐκκλησία | θεοπρεπῶς | μέλπει ἀνακράζουσα | ἐκ διανοίας καθαρᾶς | ἐν κυρίῳ ἑορτάζουσα — 37 Psalm. CIII 32.

ᾠδὴ ε΄.

Καὶ cὺ, καρδία, cείcθητι νῦν
βλέπουcα θεοῦ τὴν ἀπειλὴν
ἐπικειμένην, καὶ βόηcον·
φεῖcαι τοῦ λαοῦ cου, δέcποτα κύριε,
καὶ παῦcον τὴν δικαίαν | ὀργήν cου, εὔcπλαγχνε.

Λαὸν καὶ πόλιν, ἥνπερ τῷ cῷ
αἵματι ἐκτήcω, Ἰηcοῦ,
μὴ παραδῷc εἰc ἀπώλειαν
ἐν τῷ cυνταράccειν τὴν γῆν cειcμῷ φοβερῷ·
χορὸc τῶν ἀποcτόλων | καθικετεύει cε.

Ὁδούc cου, δέcποτα, τὰc ὀρθὰc
γνώμῃ ὑπεκκλίνοντεc cτρεβλῇ
εἰc ἀγανάκτηcιν τρέπομεν
cὲ τὸν cυμπαθῆ τε καὶ ἀμνηcίκακον·
ἀλλ' ἵλεωc, οἰκτίρμον, | γενοῦ τοῖc δούλοιc cου.

Νῦν βοηθείαc ἦλθε καιρὸc,
νῦν καταλλαγῆc χρεία, ἁγνὴ,
πρὸc τὸν υἱόν cου καὶ κύριον,
ὅπωc οἰκτειρήcῃ προcκεκρουκόταc ἡμᾶc
καὶ τῆc ἐπικειμένηc | ὀργῆc λυτρώcηται.

ᾠδὴ ϛ΄.

Οὐκ ἔχοντεc, δέcποτα, | παρρηcίαν δυcωπεῖν
οἱ ταπεινοὶ τὸ ὕψοc cου,
τοὺc ἐκλεκτοὺc ἀγγέλουc cου εἰc θερμὴν
κινοῦμεν παράκληcιν·
δι' αὐτῶν τῆc ὀργῆc cου | ἐξελοῦ ἡμᾶc.

Νῦν ἔγνωμεν, κύριε, | ὡc ἠθέληcαc ἡμᾶc
καὶ οὐδαμῶc cυνέχωcαc
ὑπὸ τὴν γῆν cυμπτώμαcι χαλεποῖc
πολλὰ πλημμελήcανταc·
εὐχαρίcτωc διό cε | μεγαλύνομεν.

---

49 Quintae huius odae hirmus in Octoecho p. 123 legitur hic: Τῷ θείῳ φέγγει cου ἀγαθὲ | τὰc τῶν ὀρθριζόντων cοι ψυχὰc | πόθῳ καταύγαcον, δέομαι, | cὲ εἰδέναι, λόγε θεοῦ, | τὸν ὄντωc θεὸν | ἐκ ζόφου τῶν πταιcμάτων | ἀνακαλούμενον. — 69 Sextae huius odae hirmus legitur in Octoecho p. 124 hic: Τοῦ βίου τὴν θάλαccαν | ὑψουμένην καθορῶν | τῶν πειραcμῶν τῷ κλύδωνι | τῷ εὐδίῳ λιμένι cου προcδραμὼν | βοῶ cοι·, ἀνάγαγε | ἐκ φθορᾶc τὴν ζωήν μου, | πολυέλεε.

Προϲτάττειϲ ϲαλεύεϲθαι | τὰ θεμέλια τῆϲ γῆϲ,
ὅπωϲ ἡμεῖϲ παυϲώμεθα
οἱ ταπεινοὶ ϲαλεύεϲθαι ἀρετῶν
τῆϲ κρείττονοϲ ϲτάϲεωϲ
καὶ τῷ φόβῳ ϲου, λόγε, | ϲτηριζώμεθα.

Ἁγία θεόνυμφε, | ἀπορούμενον νυνὶ
τὸν ϲὸν λαὸν οἰκτείρηϲον,
καὶ μητρικαῖϲ πρεϲβείαιϲ τὴν καθ᾽ ἡμῶν
θεοῦ ἀγανάκτηϲιν
μεταποίηϲον τάχοϲ, | δυϲωποῦμέν ϲε.

ᾠδὴ ζ'.

Ὑπερύμνητοϲ εἶ, κύριε μακρόθυμε,
ὅτι οὐκ ἐθανάτωϲαϲ
τοὺϲ οἰκέταϲ ϲου | ϲπαραγμῷ καὶ κλόνῳ φοβερῷ
τῆϲ γῆϲ, ἀλλ᾽ ἐφόβιϲαϲ ζητῶν
τὸ ἐπιϲτρέψαι τῶν κακῶν
καὶ ζῆϲαι πάνταϲ ἡμᾶϲ.

Ϲτεναγμὸν ἀπὸ καρδίαϲ ἀναπέμψωμεν
καὶ δάκρυα προχέωμεν,
ὅπωϲ ἵλεων | τὸν δεϲπότην εὕρωμεν Χριϲτὸν,
ἐκτρίψαι ϲειϲμῷ πάνταϲ ἡμᾶϲ
διὰ πληθὺν ἁμαρτιῶν
ἐπαπειλοῦντα δεινῶϲ.

Οἴμοι κράξωμεν καὶ χεῖραϲ ἐκπετάϲωμεν
πρὸϲ τὸν θεὸν τὸν ὕψιϲτον
καὶ παυϲώμεθα τοῦ λοιποῦ ποιεῖν τὸ πονηρόν·
ἰδοὺ ὁ ϲωτὴρ ἀγανακτῶν
ϲαλεύει ἅπαϲαν τὴν γῆν,
ϲτηρίξαι θέλων ἡμᾶϲ.

Νεῦϲον, ἄχραντε, ϲωθῆναι τοὺϲ οἰκέταϲ ϲου,
ἀπολεϲθῆναι μέλλονταϲ
ἐν ὀργῇ θεοῦ | καὶ θυμῷ μεγάλῳ καὶ φρικτῷ
τῆϲ νῦν ἐπελθούϲηϲ ἀπειλῆϲ
διὰ τὸ πλῆθοϲ τῶν πολλῶν
ἁμαρτημάτων ἡμῶν.

---

89 Septimae huius odae hic in Octoecho p. 126 legitur hirmus: Δροϲοβόλον μὲν τὴν κάμινον εἰργάϲατο | ἄγγελοϲ τοῖϲ ὁϲίοιϲ παιϲί· | τοὺϲ Χαλδαίουϲ δὲ | καταφλέγον πρόϲταγμα θεοῦ | τὸν τύραννον ἔπειϲε βοᾶν· | εὐλογητὸϲ εἶ ὁ θεόϲ, | ὁ τῶν πατέρων ἡμῶν.

ᾠδὴ η΄.

Τῆс δικαίαс сου ταύτηс | ὀργῆс, φιλάνθρωπε,
  ἐπελθούсηс ἀθρόωс | сυνεταράχθημεν
καὶ ἀπελπιсμῷ | παντελεῖ сυνεсχέθημεν,
  προсαγανακτοῦντα | ὁρῶντεс καθ' ἡμῶν сε.

Ἀνατείνωμεν χεῖραс, | πιсτοί, καὶ ὄμματα
  πρὸс τὸν μόνον δεсπότην | сῴζειν δυνάμενον,
κράζοντεс· Χριсτέ, | τὸν θυμόν сου ἀπόсτρεψον
  ἀφ' ἡμῶν ταχέωс | φιλάνθρωποс ὑπάρχων.

Χιλιάδεс ἀγγέλων, | μαρτύρων сύλλογοс,
  προφητῶν, ἀποсτόλων, | ὁсίων, ἱεραρχῶν
ἅγιοс χορὸс | ἱκετεύει сε, δέсποτα·
  φεῖсαι τοῦ λαοῦ сου | τοῦ τεταπεινωμένου.

Ὁ γινώсκων, οἰκτίρμον, | τὸ ἀсθενὲс ἡμῶν
  καὶ εὐόλιсθον πάντῃ | καὶ ἀδιόρθωτον
ἄνεс τὴν ὀργὴν | καὶ τὸν τάραχον κόπαсον
  καὶ τῷ сῷ ἐλέει | οἰκτείρηсον τὸν κόсμον.

Сυμπαθὴс, θεοτόκε, | τὸν εὐсυμπάθητον
  ἡ τεκοῦсα сωτῆρα, | ἴδε τὴν κάκωсιν
καὶ τὸν сτεναγμὸν | τοῦ λαοῦ сου καὶ τάχυνον
  τοῦ παρακαλέсαι | ἡμᾶс οἰκτειρηθῆναι.

ᾠδὴ θ΄.

Ἰδοὺ οἱ πάντεс ἡμεῖс ἐπταίсαμεν,
  καὶ φοβερῶс ἡ γῆ μηδὲν сφαλεῖсα κολάζεται·
νουθετῶν γὰρ ἡμᾶс ὁ φιλάνθρωποс
  ὅλην αὐτὴν сαλεύει·
λάβωμεν αἴсθηсιν
  καὶ τῆс сωτηρίαс ἑαυτῶν | ἐπιμελώμεθα.

Ὡρῶν καὶ χρόνων ὑπάρχων κύριοс
  μιᾷ ῥοπῇ ἠθέληсαс ἐκτρίψαι τοὺс δούλουс сου·
ὑπὸ δὲ τῆс πολλῆс εὐсπλαγχνίαс сου,
  δέсποτα, ἐκωλύθηс·
εὐχαριсτοῦμέν сοι
  οἱ ἀναπολόγητοι ἡμεῖс, | μόνε φιλάνθρωπε.

113 Octavae odae hic legitur in Octoecho p. 127 hirmus: Ἐκ φλογὸс τοῖс ὁсίοιс | δρόсον ἐπήγαсαс | καὶ δικαίου θυсίαν | ὕδατι ἔφλεξαс· | ἅπαντα γὰρ δρᾷс, | Χριсτέ, μόνῳ τῷ βούλεсθαι· | сὲ ὑπερυψοῦμεν | εἰс πάνταс τοὺс αἰῶναс — 133 Nonae odae hirmus in Octoecho p. 128 exstat hic: Θεὸν ἀνθρώποιс ἰδεῖν ἀδύνατον, | ὃν οὐ τολμᾷ ἀγγέλων ἀτενίсαι τὰ τάγματα· | διὰ сοῦ δέ, πάναγνε, ὡράθη βροτοῖс | λόγοс сεсαρκωμένοс· | ὃν μεγαλύνοντεс сὺν ταῖс οὐρανίαιс сτρατιαῖс сὲ μακαρίζομεν.

Ϲειϲμοῦ, μαχαίραϲ, πικρᾶϲ ἁλώϲεωϲ
    καὶ ἐθνικῆϲ, Χριϲτέ, ἐπιδρομῆϲ καὶ ϲυμπτώϲεωϲ
καὶ λιμοῦ καὶ λοιμοῦ καὶ κακώϲεωϲ
    πάϲηϲ ἄλληϲ, οἰκτίρμον,
ῥῦϲαι τὴν πόλιν ϲου
    ἅπαϲάν τε χώραν τῶν πιϲτῶϲ | ὑμνολογούντων ϲε.

Ἡ γῆ ἀγλώϲϲωϲ βοᾷ ϲτενάζουϲα·
    τί με κακοῖϲ μιαίνετε πολλοῖϲ, πάντεϲ ἄνθρωποι;
καὶ ὑμῶν ὁ δεϲπότηϲ φειδόμενοϲ
    ὅλην ἐμὲ μαϲτίζει;
λάβετε αἴϲθηϲιν
    καὶ ἐν μετανοίᾳ τὸν θεὸν | ἐξιλεώϲαϲθε.

Φθορὰν τῷ τίκτειν μὴ ὑπομείναϲα
    πάϲηϲ φθορᾶϲ, παρθένε, ἐξελοῦ ἡμᾶϲ ἅπανταϲ
καὶ ϲειϲμοῦ βαρυτάτου καὶ θλίψεωϲ,
    παύουϲα τοῦ δεϲπότου
τὴν ἀγανάκτηϲιν
    ταῖϲ ϲαῖϲ μητρικαῖϲ καταλλαγαῖϲ, | θεοχαρίτωτε.

II

Κανὼν εἰϲ τὴν θεοτόκον τῷ ϲαββάτῳ τοῦ ἀκαθίϲτου ὕμνου (Τριῳδ. ϲελ. 283).

Ἡ ἀκροϲτιχίϲ:

«Χαρᾶϲ δοχεῖον, ϲοὶ πρέπει χαίρειν μόνῃ· Ἰωϲήφ.»

ἦχοϲ δ΄.

ᾠδὴ α΄.

Χριϲτοῦ βίβλον ἔμψυχον | ἐϲφραγιϲμένην ϲε πνεύματι
ὁ μέγαϲ ἀρχάγγελοϲ, | ἁγνή, θεώμενοϲ
ἐπεφώνει ϲοι· | χαῖρε, χαρᾶϲ δοχεῖον,
δι' ἧϲ τῆϲ προμήτοροϲ | ἀρὰ λυθήϲεται.

Ἀδὰμ ἐπανόρθωϲιϲ, | χαῖρε παρθένε θεόνυμφε,
τοῦ ᾅδου ἡ νέκρωϲιϲ· | χαῖρε πανάμωμε,
τὸ παλάτιον | τοῦ πάντων βαϲιλέωϲ·
χαῖρε θρόνε πύρινε | τοῦ παντοκράτοροϲ.

Ῥόδον τὸ ἀμάραντον, | χαῖρε, ἡ μόνη βλαϲτήϲαϲα·
τὸ μῆλον τὸ εὔοϲμον, | χαῖρε, ἡ τέξαϲα·
τὸ ὀϲφράδιον | τοῦ μόνου βαϲιλέωϲ·
χαῖρε, ἀπειρόγαμε, | κόϲμου διάϲωϲμα.

---

v. 1 Poeta in omnibus praeter quartam odis huius canonis modulos canonis Ioannis Damasceni in honorem obitus Mariae compositi (v. p. 229) secutus est.

Ἁγνείας θηcαύριcμα, | χαῖρε, δι' ἧc ἐκ τοῦ πτώματοc
ἡμῶν ἐξανέcτημεν· | χαῖρε ἡδύπνοον
κρίνον, δέcποινα, | πιcτοὺc εὐωδιάζον·
θυμίαμα εὔοcμον, | μύρον πολύτιμον.

ᾠδὴ γ΄.

Στάχυν ἡ βλαcτήcαcα τὸν θεῖον
ὡc χώρα ἀνήροτοc caφῶc,
χαῖρε ἔμψυχε τράπεζα,
ἄρτον ζωῆc χωρήcαcα·
χαῖρε τοῦ ζῶντοc ὕδατοc
πηγὴ ἀκένωτοc, δέcποινα.

Δάμαλιc τὸν μόcχον ἡ τεκοῦcα
τὸν ἄμωμον, χαῖρε, τοῖc πιcτοῖc·
χαῖρε ἀμνὰc κυήcαcα
θεοῦ ἀμνὸν τὸν αἴροντα
κόcμου παντὸc τὰ πταίcματα·
χαῖρε θερμὸν ἱλαcτήριον.

Ὄρθροc φαεινὸc, χαῖρε, ἡ μόνη
τὸν ἥλιον φέρουcα Χριcτὸν
φωτὸc κατοικητήριον,
χαῖρε τὸ cκότοc λύcαcα
καὶ τοὺc ζοφώδειc δαίμοναc
ὁλοτελῶc ἐκμειώcαcα.

Χαῖρε πύλη μόνη, ἣν ὁ λόγοc
διώδευcε μόνοc, ἡ μοχλοὺc
καὶ πύλαc ᾅδου, δέcποινα,
τῷ τόκῳ cου cυντρίψαcα,
χαῖρε ἡ θεία εἴcοδοc
τῶν cωζομένων, θεόνυμφε.

ᾠδὴ δ΄.

Ἐν φωναῖc ᾀcμάτων πίcτει
cοὶ βοῶμεν, πανύμνητε·
χαῖρε πῖον ὄροc
καὶ τετυρωμένον ἐν πνεύματι·
χαῖρε λυχνία καὶ cτάμνε | μάννα φέρουcα
τὸ γλυκαῖνον
τὰ τῶν εὐcεβῶν αἰcθητήρια.

Ἱλαcτήριον τοῦ κόcμου,
χαῖρε, ἄχραντε δέcποινα·
χαῖρε κλίμαξ γῆθεν
πάνταc ἀνυψώcαcα χάριτι·
χαῖρε ἡ γέφυρα ὄντωc | ἡ μετάγουcα
ἐκ θανάτου | πάνταc πρὸc ζωὴν τοὺc
ὑμνοῦνταc cε.

Οὐρανῶν ὑψηλοτέρα,
χαῖρε, γῆc, τὸ θεμέλιον
ἐν τῇ cῇ νηδύϊ,
ἄχραντε, ἀκόπωc βαcτάcαcα·
χαῖρε κογχύλη πορφύραν | θείαν βάψαcα
ἐξ αἱμάτων cου
τῷ βαcιλεῖ τῶν δυνάμεων.

Νομοθέτην ἡ τεκοῦcα
ἀληθῶc, χαῖρε δέcποινα,
τὸν τὰc ἀνομίαc
πάντων δωρεὰν ἐξαλείφοντα·
ἀκατανόητον βάθοc, | ὕψοc ἄρρητον,
ἀπειρόγαμε, | δι' ἧc ἡμεῖc ἐθεώθημεν.

Σὲ τὴν πλέξαcαν τῷ κόcμῳ
ἀχειρόπλοκον cτέφανον
ἀνυμνολογοῦμεν,
χαῖρέ cοι, παρθένε, κραυγάζοντεc,
τὸ φυλακτήριον πάντων | καὶ χαράκωμα
καὶ κραταίωμα | καὶ ἱερὸν καταφύγιον.

---

46 Tertia oda sequitur modulos huius hirmi: Ὁ καθήμενοc ἐν δόξῃ | ἐπὶ θρόνου θεότητοc | ἐν νεφέλῃ κούφῃ | ἦλθεν Ἰηcοῦc ὁ ὑπέρθεοc | τῇ ἀκηράτῳ παλάμῃ | καὶ διέcωcε | τοὺc κραυγάζονταc· | δόξα, Χριcτέ, τῇ δυνάμει cου.

ᾠδὴ ε΄.

Ὁδὸν ἡ κυήcαcα
Ζωῆc, χαῖρε, πανάμωμε,
ἡ κατακλυcμοῦ τῆc ἁμαρτίαc
cώcαcα κόcμον· | χαῖρε, θεόνυμφε,
ἄκουcμα καὶ λάλημα φρικτόν·
χαῖρε ἐνδιαίτημα
τοῦ δεcπότου τῆc κτίcεωc.

Ἰcχὺc καὶ ὀχύρωμα
ἀνθρώπων, χαῖρε, ἄχραντε,
τόπε ἁγιάcματοc τῆc δόξηc,
νέκρωcιc ᾅδου, | νυμφὼν δλόφωτε·
χαῖρε τῶν ἀγγέλων χαρμονή,
χαῖρε ἡ βοήθεια
τῶν πιcτῶc δεομένων cου.

Πυρίμορφον ὄχημα
τοῦ λόγου, χαῖρε, δέcποινα,
ἔμψυχε παράδειcε, τὸ ξύλον
ἐν μέcῳ ἔχων | Ζωῆc τὸν κύριον,
οὗ ὁ γλυκαcμὸc Ζωοποιεῖ
πίcτει τοὺc μετέχονταc
καὶ φθορᾷ ὑποκύψανταc.

Ῥωννύμενοι cθένει cου
πιcτῶc ἀναβοῶμέν cοι·
χαῖρε πόλιc τοῦ παμβαcιλέωc,
δεδοξαcμένα | καὶ ἀξιάκουcτα
περὶ ἧc λελάληνται cαφῶc·
ὄροc ἀλατόμητον,
χαῖρε βάθοc ἀμέτρητον.

Εὐρύχωρον cκήνωμα
τοῦ λόγου, χαῖρε ἄχραντε·
κόχλοc ἡ τὸν θεῖον μαργαρίτην
προαγαγοῦcα, | χαῖρε πανθαύμαcτε,
πάντων πρὸc θεὸν καταλλαγὴ
τῶν μακαριζόντων cε,
θεοτόκε, ἑκάcτοτε.

ᾠδὴ ϛ΄.

Παcτὰc τοῦ λόγου ἀμόλυντε,
αἰτία τῆc τῶν πάντων θεώcεωc,
χαῖρε πανάχραντε,
τῶν προφητῶν περιήχημα,
χαῖρε τῶν ἀποcτόλων
τὸ ἐγκαλλώπιcμα.

Ἐκ cοῦ ἡ δρόcοc ἀπέcταξε
φλογμὸν πολυθεΐαc ἡ λύcαcα·
ὅθεν βοῶμέν cοι·
χαῖρε ὁ πόκοc ὁ ἔνδροcοc,
ὃν Γεδεών, παρθένε, | προεθεάcατο.

Ἰδού cοι χαῖρε κραυγάζομεν,
λιμὴν ἡμῖν γενοῦ θαλαττεύουcι
καὶ ὁρμητήριον
ἐν τῷ πελάγει τῶν θλίψεων
καὶ τῶν cκανδάλων πάντων
τοῦ πολεμήτοροc.

Χαρᾶc αἰτία χαρίτωcον
ἡμῶν τὸν λογιcμὸν τοῦ κραυγά-
ζειν cοι·
χαῖρε ἡ ἄφλεκτοc
βάτοc, νεφέλη ὁλόφωτε,
ἡ τοὺc πιcτοὺc ἀπαύcτωc
ἐπιcκιάζουcα.

ᾠδὴ ζ΄.

Ἀνυμνοῦμέν cε | βοῶντεc· χαῖρε ὄχημα
ἡλίου τοῦ νοητοῦ·
ἄμπελοc ἀληθινὴ | τὸν βότρυν τὸν πέπειρον
ἡ γεωργήcαcα, | οἶνον cτάζοντα
τὸν τὰc ψυχὰc εὐφραίνοντα | τῶν πιcτῶc cε δοξαζόντων.

Ἰατῆρα | τῶν ἁπάντων ἡ κυήcαcα,
χαῖρε θεόνυμφε·

ἡ ῥάβδος ἡ μυστικὴ | ἄνθος τὸ ἀμάραντον
ἡ ἐξανθήσασα, | χαῖρε δέσποινα,
δι᾽ ἧς χαρᾶς πληρούμεθα | καὶ ζωὴν κληρονομοῦμεν.

Ῥητορεύουσα | οὐ σθένει γλῶσσα, δέσποινα,
ὑμνολογῆσαί σε·
ὑπὲρ γὰρ τὰ Σεραφὶμ | ὑψώθης κυήσασα
τὸν βασιλέα Χριστόν, | ὃν ἱκέτευε
πάσης νῦν βλάβης ῥύσασθαι | τοὺς πιστῶς σε προσκυνοῦντας.

Εὐφημεῖ σε | μακαρίζοντα τὰ πέρατα
καὶ πόθῳ κράζει σοι·
χαῖρε ὁ τόμος, ἐν ᾧ | δακτύλῳ ἐγγέγραπται
πατρὸς ὁ λόγος, ἁγνή, | ὃν ἱκέτευε
βίβλῳ ζωῆς τοὺς δούλους σου | καταγράψαι, θεοτόκε.

Ἱκετεύομεν | οἱ δοῦλοί σου καὶ κλίνομεν
γόνυ καρδίας ἡμῶν·
κλῖνον τὸ οὖς σου, ἁγνή, | καὶ σῶσον τοὺς θλίψεσι
βυθιζομένους ἡμᾶς, | καὶ συντήρησον
πάσης ἐχθρῶν ἁλώσεως | τὴν σὴν πόλιν, θεοτόκε.

ᾠδὴ η΄.

Νηδύϊ τὸν λόγον ὑπεδέξω,
τὸν πάντα βαστάζοντα ἐβάστασας·
γάλακτι ἐξέθρεψας | νεύματι τὸν τρέφοντα
τὴν οἰκουμένην ἅπασαν, | ἁγνή, ᾧ ψάλλομεν·
τὸν κύριον ὑμνεῖτε τὰ ἔργα
καὶ ὑπερυψοῦτε | εἰς πάντας τοὺς αἰῶνας.

Μωσῆς κατενόησεν ἐν βάτῳ
τὸ μέγα μυστήριον τοῦ τόκου σου·
παῖδες προεικόνισαν | τοῦτο ἐμφανέστατα
μέσον πυρὸς ἱστάμενοι | καὶ μὴ φλεγόμενοι,
ἀκήρατε ἁγία παρθένε·
ὅθεν σε ὑμνοῦμεν | εἰς πάντας τοὺς αἰῶνας.

Οἱ πρῴην ἀπάτῃ γυμνωθέντες
στολὴν ἀφθαρσίας ἐνεδύθημεν
τῇ κυοφορίᾳ σου· | καὶ οἱ καθεζόμενοι
ἐν σκότει παραπτώσεων | φῶς κατωπτεύσαμεν,
φωτὸς κατοικητήριον, κόρη·
ὅθεν σε ὑμνοῦμεν | εἰς πάντας τοὺς αἰῶνας.

Νεκροὶ διὰ ϲοῦ ζωοποιοῦνται·
ζωὴν γὰρ τὴν ἐνυπόϲτατον ἐκύηϲαϲ·
εὔλαλοι οἱ ἄλαλοι | πρῴην χρηματίζοντεϲ,
λεπροὶ ἀποκαθαίρονται, | νόϲοι διώκονται,
πνευμάτων ἀερίων τὰ πλήθη
ἥττηνται, παρθένε, | βροτῶν ἡ ϲωτηρία.

Ἡ κόϲμῳ τεκοῦϲα ϲωτηρίαν,
δι᾽ ἧϲ ἀπὸ γῆϲ εἰϲ ὕψοϲ ἤρθημεν,
χαίροιϲ παντευλόγητε, | ϲκέπη καὶ κραταίωμα,
τεῖχοϲ καὶ ὀχύρωμα | τῶν μελῳδούντων, ἁγνή·
τὸν κύριον ὑμνεῖτε τὰ ἔργα
καὶ ὑπερυψοῦτε | εἰϲ πάνταϲ τοὺϲ αἰῶναϲ.

ᾠδὴ θ΄.

Ἵνα ϲοι πιϲτοὶ | τὸ χαῖρε κραυγάζωμεν
οἱ διὰ ϲοῦ τῆϲ χαρᾶϲ
μέτοχοι γενόμενοι | τῆϲ ἀϊδίου, | ῥῦϲαι ἡμᾶϲ πειραϲμοῦ,
βαρβαρικῆϲ ἁλώϲεωϲ | καὶ πάϲηϲ ἄλληϲ πληγῆϲ
διὰ πλῆθοϲ, κόρη, παραπτώϲεων
ἐπιούϲηϲ βροτοῖϲ ἁμαρτάνουϲιν.

Ὤφθηϲ φωτιϲμὸϲ | ἡμῶν καὶ βεβαίωϲιϲ,
ὅθεν βοῶμέν ϲοι·
χαῖρε ἄϲτρον ἄδυτον | εἰϲάγον κόϲμῳ | τὸν μέγαν ἥλιον·
χαῖρε Ἐδὲμ ἀνοίξαϲα | τὴν κεκλειϲμένην, ἁγνή·
χαῖρε ϲτύλε πύρινε, εἰϲάγουϲα
εἰϲ τὴν ἄνω ζωὴν τὸ ἀνθρώπινον.

Ϲτῶμεν εὐλαβῶϲ | ἐν οἴκῳ θεοῦ ἡμῶν
καὶ ἐκβοήϲωμεν·
χαῖρε κόϲμου δέϲποινα· | χαῖρε Μαρία, | κυρία πάντων ἡμῶν·
χαῖρε ἡ μόνη ἄμωμοϲ | ἐν γυναιξὶ καὶ καλή·
χαῖρε ϲκεῦοϲ, μύρον τὸ ἀκένωτον
ἐπὶ ϲὲ κενωθὲν εἰϲδεξάμενον.

Ἡ περιϲτερὰ | ἡ τὸν ἐλεήμονα
ἀποκυήϲαϲα,
χαῖρε ἀειπάρθενε· | ὁϲίων πάντων | χαῖρε τὸ καύχημα,
τῶν ἀθλητῶν ϲτεφάνωμα· | χαῖρε ἁπάντων τε
τῶν δικαίων θεῖον ἐγκαλλώπιϲμα
καὶ ἡμῶν τῶν πιϲτῶν τὸ διάϲωϲμα.

173 fort.: καὶ τεῖχοϲ.

Φεῖcαι ὁ θεὸc | τῆc κληρονομίαc cου,
τὰc ἁμαρτίαc ἡμῶν
πάcαc παραβλέπων νῦν, | εἰc τοῦτο ἔχων | ἐκδυcωποῦcάν cε
τὴν ἐπὶ γῆc ἀcπόρωc cε | κυοφορήcαcαν,
διὰ μέγα ἔλεοc θελήcαντα
μορφωθῆναι, Χριcτὲ, τὸ ἀλλότριον.

III

Τριῴδιον ψαλλόμενον τῇ ε΄ τῆc γ΄ ἑβδ. τῶν νηcτειῶν (Τριῳδ. 225)

ἦχοc α΄.

ᾠδὴ δ΄.

κατὰ τὸ· «Ἐπὶ τῆc θείαc φυλακῆc.»

Ἁγιαcμοῦ παρεκτικὴν | χάριν δωρούμενοc ἡμῖν,
ἅγιε cταυρὲ, | ἀποcτόλων καύχημα καὶ cτήριγμα,
πρόκειcαι εἰc προcκύνηcιν
cήμερον πάcῃ τῇ οἰκουμένῃ,
τὸν τῆc νηcτείαc καιρὸν | κατευμαρίζων ἡμῖν.

Cκιογραφούcαc τὸν cταυρὸν | χεῖραc ἐκτείναc Ἀμαλὴκ
ἔτρεψε Μωcῆc· | ὃν τυποῦντεc χεῖραc ἐκπετάcωμεν
νηcτείαιc καὶ δεήcεcι,
cτῖφοc ὅπωc τρέψωμεν δαιμόνων
ἐκπολεμούντων ἡμᾶc | διὰ παντὸc φθονερῶc.

Θείῳ ἀρότρῳ τοῦ cταυροῦ | κατενεώcατε τὴν γῆν,
θεῖοι μαθηταὶ, | καρποφόρον ταύτην ἀναδείξαντεc
βλαcτάνουcαν εὐcέβειαν·
ὅθεν ὑμᾶc φωναῖc ἐτηcίαιc
ἀνευφημοῦντεc Χριcτὸν | ἀεὶ δοξάζομεν.

Μῆτερ θεοῦ τοῦ ἀγαθοῦ, | ἀγάθυνόν μου τὴν ψυχὴν,
ἣν ὁ πονηρὸc | cυνηθείᾳ πονηρᾷ ἐκάκωcεν,
ἀθλίωc δελεάcαc με,
ὅπωc ὡc cωτηρίαc αἰτίαν
ὑμνολογῶ cε ἀεὶ | τὴν πολυύμνητον.

ᾠδὴ η΄.

κατὰ τὸ· «Αὕτη ἡ κλητή.»

Χαίροιc ὁ cταυρὸc ὁ τριμερὴc καὶ θεῖοc,
ἐν ᾧ ὁ εἷc τῆc τριάδοc | cάρκα φορέcαc ἐπάγη,

---

2 καύχημα καὶ cτήρ. ex cod. vaticano Maio in Spicileg. romano t. IV: cτήρ. καὶ καύχ. Triod. — 5 ἐξευμαρίζων Triod. — 14 ἡμᾶc Maio — 15 ἀνευφημοῦμεν, ἀεὶ Χριcτὸν δοξάζοντεc Maio — 22 ἐν eiiciendum videtur.

ἐμπαγέντας ἡμᾶϲ | ἀϲεβείας εἰϲ βυθὸν λυτρωϲάμενος,
ὃν ὑπερυψοῦμεν | Χριϲτὸν εἰϲ τοὺς αἰῶνας.

Ϲθένος τὸν ϲταυρὸν | κραταιὸν κεκτημένοι
τοὺϲ δεινῇ δυναϲτείᾳ | τοῦ πονηροῦ δουλωθέντας
ἠλευθέρωϲαν | οἱ τοῦ λόγου, μαθηταὶ ἀνακράζοντεϲ,
ϲὲ ὑπερυψοῦμεν, | Χριϲτέ, εἰϲ τοὺϲ αἰῶνας.

Οἴμοι! τί φρικῶδεϲ τὸ βῆμα ἐκεῖνο,
ἐν ᾧ, λόγε, καθίϲας | τὰ πεπραγμένα κρυφῇ μοι
φανερώϲειϲ, Χριϲτὲ, | ϲτηλιτεύων τὴν ἀναιϲθηϲίαν μου;
ἀλλὰ φύϲει ὢν ϲυμπαθὴϲ φεῖϲαί μου τότε.

Κόλπων οὐκ ἐκϲτὰϲ τῶν πατρῴων ἐν κόλποιϲ
ἀνεκλίθηϲ παρθένου | ἐπ' ἀνακλήϲει τοῦ γένουϲ,
οὗ ἐφόρεϲας | διὰ ϲπλάγχνα, Χριϲτὲ, τὸ ὁμοίωμα·
ὅθεν ϲε ὑμνοῦμεν, | Χριϲτέ, εἰϲ τοὺϲ αἰῶνας.

ᾠδὴ θ'.

κατὰ τὸ· «Φωτίζου, φωτίζου.»

Φαιδρύνου, φωτίζου | ἡ ἐκκληϲία τοῦ Χριϲτοῦ
τοῦ ϲταυροῦ ταῖϲ ἀκτῖϲιν, | ὃν φέρειϲ προκείμενον
πάντων πιϲτῶν εἰϲ προϲκύνηϲιν·
ϲὺ δὲ πληθὺϲ | πᾶϲα τῶν δαιμόνων
ϲκότουϲ πληϲθεῖϲα ἀπόδραθι.

Κράτοϲ ἐγκρατείαϲ | ὁ θεῖοϲ πέφυκε ϲταυρὸϲ,
ϲυνεργὸϲ ἀγρυπνούντων, | νηϲτευτῶν ἐνίϲχυϲιϲ,
πολεμουμένων ὑπέρμαχοϲ,
τοῦτον, πιϲτοὶ, | πόθῳ ϲυνελθόντεϲ
περιχαρῶϲ προϲκυνήϲωμεν.

Θεμέλιοι θεῖοι | τῆϲ ἐκκληϲίαϲ τοῦ Χριϲτοῦ
ἑδραϲμῷ εὐϲεβείαϲ | πάνταϲ ϲυντηρήϲατε
καὶ ἐπὶ πέτραν ϲτηρίξατε
τὴν ἀρραγῆ | τοῦ ἐκλεξαμένου
ὑμᾶϲ, ἀπόϲτολοι ἔνδοξοι·

Χαρὰν ϲυλλαβοῦϲα | τοῦ ἀρχαγγέλου τῇ φωνῇ
τῆϲ ἐμῆϲ νῦν καρδίαϲ | τὴν λύπην ἀφάνιϲον
τὴν ψυχοφθόρον καὶ δίδου, ἁγνή,
χαροποιὸν | πένθοϲ, ὅπωϲ εὕρω
ἐκεῖ τὴν θείαν παράκληϲιν.

23 exspectes λυτρωϲόμενοϲ — 27 ἀναμέλποντεϲ Triod. — 32 fort.: ἀλλὰ ϲυμπαθὴϲ ὢν | φύϲει φεῖϲαί μου τότε — φεῖϲαι ὢν Maio — 35 Ἰηϲοῦ Triod. — 36 ὑμνοῦμεν βροτοὶ εἰϲ Triod. — 39 πιϲτῶν om. Maio.

ΜΗΤΡΟΦΑΝΟΥC

Κανὼν εἰc τὴν μακαρίαν τριάδα (Ὀκτ. cελ. 93).

Ἡ ἀκροcτιχίc:

«Κανὼν ὁ πέμπτοc φωτὶ τῷ τριcηλίῳ.»

ἦχοc πλ. α΄.

ᾠδὴ α΄.

κατὰ τό· «Ἵππον καὶ ἀναβάτην.»

Κράτοc τῆc ἑνιαίαc | καὶ τριcηλίου μορφῆc
ἀνυμνοῦντεc βοῶμεν· | τὸν νοῦν ἡμῶν καταύγαcον,
θεὲ παντοδύναμε,
καὶ πρὸc τὴν cὴν, δέcποτα,
μετεώριcον δόξαν ἄφραcτον.

Ἄνω cε τῶν ἀγγέλων | διάκοcμοι νοεροὶ
ἀcιγήτωc ὑμνοῦcιν | ἐν τριcαγίοιc ᾄcμαcι
μονάδα τριcάριθμον
καὶ τριάδα cύμμορφον,
ὑπερούcιον, παντοδύναμον.

Νέκταρ τῆc cῆc ἀγάπηc | γλυκύτατον, φωτουργὸν
τῇ ψυχῇ μου παράcχου, | τριὰc μονὰc ἀρχίφωτε,
καὶ θείαν κατάνυξιν,
καθαρτικὴν, δέcποτα
πολυέλεε πάcηc κτίcεωc.

Ὥcπερ ἐπὶ τὸν πόκον | κατῆλθεν ἀψοφητὶ
οὐρανόθεν, παρθένε, | ὁ ὑετὸc ἐν μήτρᾳ cου
ὁ θεῖοc καὶ ἔcωcε
ξηρανθεῖcαν ἅπαcαν
τῶν ἀνθρώπων τὴν φύcιν, ἄχραντε.

ᾠδὴ γ΄.

κατὰ τό· «Ὁ πήξαc ἐπ' οὐδενόc.»

Νοήcαc τὰc νοερὰc | οὐcίαc ὑπέcτηcαc
ὑμνῳδοὺc ἀπαύcτωc | τῆc cῆc θεότητοc,
τρίφωτε θεὲ καὶ παντουργέ· | ἀλλὰ καὶ τῶν πηλίνων
καὶ γηγενῶν δέξαι τὴν αἴνεcιν
καὶ τὴν ἱκεcίαν ὡc εὔcπλαγχνοc.

Metrophanis hic canon octava quaque dominica inter diem festum Omnium sanctorum et paschatis hora nocturna legi solet. — Cod. D — v. 4 verbum δέcποτα huius strophae et quae in reliquis strophis ei respondent, a priore versu avulsa sequenti praemisit D — 13 καί om. D — 24 τὴν δέηcιν Oct.

Ὁ πάσης κατὰ φύσιν | τροπῆς ἀνεπίδεκτος
τοῖς ἀλλοιουμένοις | ἡμῖν καὶ μέλπουσι
τὴν ἀνεξιχνίαστον πηγὴν | τῆς ἀγαθότητός σου
πλημμελημάτων δὸς συγχώρησιν,
ἥλιε τῆς δόξης τρισάκτιστε.

Πατέρα καὶ τὸν υἱὸν | καὶ πνεῦμα δοξάσωμεν
ἐν ἀπαραλλάκτῳ | μορφῇ θεότητος,
σὲ τὸν ἑνικὸν καὶ τριλαμπῆ | κύριον τῶν ἁπάντων,
ὡς οἱ προφῆται καὶ ἀπόστολοι
παρὰ σοῦ σαφῶς ἐδιδάχθησαν.

Ἐφάνης τῷ Μωϋσῇ | ἐν βάτῳ ὡς ἄγγελος
βουλῆς τῆς μεγάλης | τοῦ παντοκράτορος,
τὴν σὴν ἐκ παρθένου προδηλῶν | σάρκωσιν, θεοῦ λόγε,
δι' ἧς ἡμᾶς μετεστοιχείωσας
καὶ πρὸς οὐρανὸν ἀνεβίβασας.

ᾠδὴ δ΄.

κατὰ τὸ «Τὴν θείαν ἐννοήσας σου κένωσιν.»

Μυεῖται τῆς μιᾶς κυριότητος | τὸ τριφαὲς ὁ Δανιήλ,
Χριστὸν κριτὴν θεασάμενος
πρὸς τὸν πατέρα ἰόντα
καὶ πνεῦμα τὸ προφαῖνον τὴν ὅρασιν.

Πηλίνοις τοὺς ὑμνοῦντάς σε στόμασι | τὸν ὑπερούσιον θεὸν
τριαδικὸν ὑποστάσεσι
μοναδικὸν δὲ τῇ φύσει,
τῆς δόξης τῶν ἀγγέλων ἀξίωσον.

Τὸ ὄρος τὸ δασὺ καὶ κατάσκιον, | ὃ εἶδε πρὶν ὁ Ἀββακούμ,
ἐξ οὗ προῆλθεν ὁ ἅγιος,
τὸν δυσθεώρητον τόκον
ἐδήλου σῆς, παρθένε, συλλήψεως.

ᾠδὴ ε΄.

κατὰ τὸ «Ὁ ἀναβαλλόμενος.»

Ὁ δι' ἀγαθότητα | κτίσας τὸν ἄνθρωπον
καὶ κατ' εἰκόνα | τὴν σὴν ποιήσας,
ἐν ἐμοὶ κατοίκησον,
τρίφωτε θεέ μου, | ὡς ἀγαθὸς καὶ εὔσπλαγχνος.

---

26 ἀπαράδεκτος Oct. — 28 τῆς σῆς ἀγαθοσύνης Oct. — 30 ἥλιε . . . τρισάκτιστε D: καὶ τὴν σωτηρίαν ὡς εὔσπλαγχνος Oct. — 31 δοξάζομεν Oct. — 38 σοῦ τὴν Oct. — 40 οὐρανούς Oct. — 41 Daniel VII 13–14. — 47 τε Oct.

Ϲύ με καθοδήγηϲον, | μονὰϲ τριϲήλιε,
πρὸϲ τρίβουϲ θείαϲ | τῆϲ ϲωτηρίαϲ,
καὶ τῆϲ ϲῆϲ ἐλλάμψεωϲ
πλήρωϲον ὡϲ φύϲει | θεὸϲ ἀπειροδύναμοϲ.

Φῶϲ τὸ ἀδιαίρετον | τῆϲ μιᾶϲ φύϲεωϲ,
μεμεριϲμένον | τοῖϲ χαρακτῆρϲι,
τριλαμπὲϲ, ἀνέϲπερον,
τὴν ἐμὴν καρδίαν | ταῖϲ αἴγλαιϲ ϲου καταύγαϲον.

Ὡϲ κατεῖδε πάλαι ϲε, | ἁγνὴ πανάχραντε,
ὁ ὑποφήτηϲ | βλέπουϲαν πύλην
πρὸϲ τὸ φῶϲ τὸ ἄδυτον,
παρευθὺϲ ἐπέγνω | θεοῦ κατοικητήριον.

ᾠδὴ ϛʹ.
κατὰ τὸ «Μαινομένην κλύδωνι.»

Τριφαὴϲ ὑπάρχουϲα | θεαρχία ὑποϲτατικῶϲ
ἑνιαία πέφυκαϲ | ὡϲ ϲύμμορφοϲ
καὶ ἰϲουργὸϲ | καὶ κατ᾽ οὐϲίαν καὶ βούληϲιν.

Ἱκανῶϲ ἐδήλωϲεν | ὁ προφήτηϲ, ᾄδων τῷ πατρί·
ϲῷ φωτὶ, τῷ πνεύματι, | ὀψόμεθα
φῶϲ τὸν υἱόν, | ἕνα θεὸν τὸν τριϲήλιον.

Τῶν πταιϲμάτων λύτρωϲιν | καὶ κινδύνων, δέϲποτα θεὲ
ἑνικὲ καὶ τρίφωτε, κατάπεμψον
ϲοῖϲ ὑμνηταῖϲ | πρεϲβείαιϲ τῆϲ θεομήτοροϲ.

ᾠδὴ ζʹ.
κατὰ τὸ «Ὁ ὑπερυψούμενοϲ.»

Ὡϲ ἐλέουϲ ἄβυϲϲον | κεκτημένοϲ, κύριε,
καὶ πέλαγοϲ ἄπειρον, | οἰκτίρμον, ἐλέηϲον
τοὺϲ ἕνα ϲε ὑμνοῦνταϲ | τριλαμπῆ θεὸν τῶν ὅλων.

Τὸν ἀπερινόητον, | ἑνικὸν καὶ τρίφωτον
θεόν ϲε καὶ κύριον | ὑμνοῦντεϲ λιτάζομεν·
παράϲχου τοῖϲ ϲοῖϲ δούλοιϲ | ἱλαϲμὸν ἁμαρτημάτων.

Ῥάδαμνον ἐβλάϲτηϲαϲ | τῷ πατρὶ ϲυνάναρχον,
ἄνθοϲ τῆϲ θεότητοϲ, | βλαϲτὸν ϲυναΐδιον,
παρθένε, τὸν διδόντα | τὴν ζωὴν πᾶϲιν ἀνθρώποιϲ.

61 τῆϲ μιᾶϲ Oct.: ὁρῶ τῆϲ D — 64 καταύγαϲον ταῖϲ αἴγλαιϲ ϲου Oct. — 66 βλέπουϲαν πύλην ὁ ὑποφήτηϲ D — 68 παρευθύϲ D: εὐθύϲ ϲε Oct. — 73 ὀψόμεθα τῷ πνεύματι Oct. — 75 κινδύνων δέϲποτα Oct.: πειραϲμῶν εὔϲπλαγχνε D accentibus minus commodis — 77 πρεϲβείαϲ Oct. — 79 οἰκτιρμῶν D — 82 βοῶμεν ϲοι Oct.

ᾠδὴ η′.

κατὰ τὸ «Σοὶ τῷ παντουργῷ.»

Ἵνα τῆς μιᾶς ἀνακαλύψῃς πάλαι
σαφῶς κυριότητος | τριττὴν ὑπόστασιν,
ὤφθης, θεέ μου, | ἐν σχήματι ἀνθρώπων
Ἀβραὰμ ὑμνοῦντι | σὸν κράτος ἑνιαῖον.

Σύ με πρὸς τὰς σὰς θεουργικὰς ἀκτῖνας
δέρκειν καταξίωσον, | φῶς τὸ ἀπρόσιτον,
πάτερ οἰκτίρμον | καὶ λόγε καὶ τὸ πνεῦμα,
τοῦ εὐαρεστεῖν σοι | ἀεὶ, κύριε πάντων.

Ἤστραψας ἡμῖν τῆς τρισηλίου δόξης
τὸν ἕνα, πανύμνητε, | Χριστὸν τὸν κύριον,
πάντας μυοῦντα | τὴν μίαν θεαρχίαν
ἐν τρισὶ προσώποις | ὑμνεῖν εἰς τοὺς αἰῶνας.

ᾠδὴ θ′.

κατὰ τὸ «Ἡσαΐα χόρευε.»

Λαλιαί σε βρότειαι | κατ᾽ ἀξίαν, | ἄναρχε μονάς,
οὐ σθένουσιν ὑμνεῖν· | πλὴν ὡς ἐφικτὸν
τολμῶντες ἐκ πίστεως, | θεαρχικὴ | σύνθρονε τριάς,
δόξαν προσφέρομεν | τῷ σῷ κράτει καὶ τὴν αἴνεσιν.

Ἰσορρόπῳ δόξῃ σε | τὸν μονάρχην | τρίφωτον θεὸν
δοξάζει τὰ Χερουβὶμ | καὶ τὰ Σεραφὶμ
ἀχράντοις ἐν στόμασι· | μεθ᾽ ὧν ἡμᾶς | τοὺς ἁμαρτωλοὺς
πρόσδεξαι, κύριε, | τὸ σὸν κράτος μεγαλύνοντας.

Ὡς ἁγνὴ καὶ ἄμωμος | ἡ παρθένος | τέτοκας υἱόν,
λυτρούμενον ἡμᾶς | ἀπὸ τῆς φθορᾶς,
θεὸν ἀναλλοίωτον· | ἀλλὰ καὶ νῦν | ἄφεσιν ἡμῖν
τῶν παραπτώσεων | καταπέμψαι καθικέτευε.

---

89 Genes. XVIII 2 — 93 οἰκτίρμον] παντοκράτορ in πανκράτορ corr. D — 96 Χριστὸν καὶ κύριον D — 104 ὑμνοῦντα τὰ Χερ. D — 107 καὶ παρθένος Oct. — 108 ἀπὸ πειρασμῶν Oct. — 110 παραπτώσεως τοῦτον δοῦναι καθικέτευε Oct.

ΠΙΝΑΞ ΤΩΝ ΜΕΛΩΝ

ΚΑΤ' ΑΛΦΑΒΗΤΟΝ.

Α

'Αν. = 'Αναστασιματάριον. Δοξ. = Δοξαστάριον. Εἱρμ. = Εἱρμολόγιον.
Πανδ. = Πανδέκτη.

Β

Γ

Δ

Ο

Π

Ρ

Φ

Χ

Ψ

Ω

ΠΙΝΑΞ ΤΩΝ ΥΜΝΟΓΡΑΦΩΝ

τῶν Μηναίων Τριῳδίου Πεντηκοσταρίου Οκτωήχου Παρακλητικῆς.

Ἀνατόλιος. Ἰδιόμελα: 5. 8. 13. 14. 16. 24 Σεπτ. 1. 6. 7. 12. 18. 21. 24. 26. Ὀκτ. 1. 5. 8. 11. 12. 13. 24. 30. Νοεμ. 4. 11. 12. 17. 20. 23. 25. 26. 27. Δεκ. 1. 2. 6. 10. 16. 17. 19. 23. 25. 28. 31. Ἰαν. 2. 14. Φεβρ. 25. Μαρτ. 23. Ἀπριλ. 9. Μαι. 17. 24. Ἰουν. 1. 8. 15. 23. 24. 25. 27. Ἰουλ. 6. 15. 22. Αὐγ. Πεντηκ. p. 23. 42. 89. Ὀκτωηχ.

Ἀνδρέας Ἱεροσολυμίτης ἢ Κρήτης. Ἰδιόμελα: 14. 24. Σεπτ. 3. 12. 26. Ὀκτ. 30. Νοεμ. 25. 29. Δεκ. 2. Ἰαν. 2. Φεβρ. 25. Μαρτ. 24. 29. Ἰουν. — Κανόνες: 8. Σεπτ. 9. 20. Δεκ. 24. Ἰουν. 1. 29. Αὐγ. Τριῳδ. p. 34. 88. 88. 96. 104. 258. 323. 342. 349. 355. 362. Πεντηκ. p. 46. 83.

Ἀνδρέας Πυρρός· Ἰδιόμελα: 1. 20. 26. Σεπτ. 20. Δεκ. 2. Φεβ. 29. Ἰουν. 1. Ἰουλ.

Ἀνδρέας Τυφλός. Ἰδιόμελον: Τριῳδ. p. 321.

Ἄνθιμος πατριάρχης. Ἀπολυτίκιον: 21. Σεπτ.

Ἀντώνιος Λαρίσσης. Ἰδιόμελον: 2. Νοεμ. — Κανών: 15. Μαι.

Ἀρσένιος. Ἰδιόμελα: 8. Νοεμ. 29. Ἰουν. 20. Ἰουλ. — Κανόνες: 10. Ἰουν. Πεντηκ. p. 182.

Βαβύλας. Ἰδιόμελα: 4. Σεπτ. 25. Νοεμ.

Βασίλειος. Ἰδιόμελα: 18. Ὀκτ. 1. Ἰαν. — Κανών: 21. Νοεμ.

Βυζάντιος. Ἰδιόμελα: 1. 2. 6. 16. 23. 26. 27. Σεπτ. 14. 23. 26. Ὀκτ. 6. 8. 11. 14. Νοεμ. 4. Δεκ. 21. Μαι. 24. 29. Ἰουν. 8. 15. 20. 24. 27. Ἰουλ.

Βύζας. Ἰδιόμελα: 14. Νοεμ. 13. 20. 22. Δεκ. 1. 6. 7. 9. 16. Ἰαν. 25. Μαρτ. 21. Μαι. 22. Ἰουλ. 6. Αὐγ.

Γαβριήλ. Pitra Hymn. p. 11. 13.

Γεράσιμος Ἀλεξανδρείας: Ἰδιόμελον: 18. Ἰαν.

Γερμανὸς πατριάρχης. Ἰδιόμελα: 1. 7. 8. 20. 26. Σεπτ. 3. 7. 25. 26. Ὀκτ. 1. 6. 13. 30. Νοεμ. 9. 11. 12. 13. 25. Δεκ. 1. 6. 18. 20. 27. 30. Ἰαν. 2. Φεβρ. 2. 8. 24. Μάι. 29. Ἰουν. 1. 8. 15. 20. 27. Ἰουλ. 15. 29. Αὐγ. Πεντηκ. p. 92. — Κανόνες: 2. 13. Σεπτ. 17. Ἰουν. 16. Αὐγ.

Γεώργιος. Ἰδιόμελον: 24. Ἰουλ. — Κανόνες: 11. Σεπτ. 8. Ὀκτ. 21. Νοεμ. 8. 9. 29. Δεκ. 25. Φεβρ. 4. 16. 24. 29. Μαρτ. 13. Μαι. 24. Ἰουν. 31. Αὐγ. Τριῳδ. p. 2. 170.

Γεώργιος Σικελιώτης. Ἰδιόμελα: 26. Ὀκτ. 28. Νοεμ.

Γεώργιος Νικομηδείας. Ἰδιόμελα: 13. 20. 21. Νοεμ. 13. Ἰουλ.

Γρηγόριος. Ἰδιόμελον: 17. Ἰουν.

Δημήτριος. Ἰδιόμελον: 9. Ὀκτ.

Ἐφραὶμ Καρίας. Ἰδόμελα: 3. 9. 20. Σεπτ. 3. 8. Νοεμ. 29. Ἰουν. 26. Αὐγ.

Θεόδωρος Στουδίτης. Ἰδιόμελα: 25. Σεπτ, 20. Ὀκτ. 8. 13. 27. 28. Νοεμ. 11. 20. 22. 23. Δεκ. 11. 13. 17. 20. Ἰαν. 11. Φεβρ. 23. Ἀπριλ. Τριωδ. p. 64. 75. 95. Οκτωηχ. — Κανόνες: Τριῳδ. p. 14. 23. 130. 202. — Τριῴδια ἢ τετραῴδια: ὅρα πίνακα γ'.

Θεόδωρος Δούκας. Κανών: Ὡρολογ. p. 445.

Θεοστήρικτος μοναχός. Κανών: Ὡρολογ. p. 434.

Θεοφάνης ὁ Γραπτός. Ἰδιόμελα: 14. 15. 26. Σεπτ. 9. Ὀκτ. 1. Νοεμ. 5. Δεκ. 2. 6. Ἰαν. 25. Μαρτ. 23. Ἀπριλ. 29. Ἰουν. 1. Ἰουλ. 15. Αὐγ. Τριῳδ. p. 280. 431. Πεντηκ. p. 185. Παρακλ. p. 158. 357. 393. — Κανόνες: 2. 3. 4. 5. 7. 15. 17. 20. 26. 28. Σεπτ. 3. 4. 6. 7. 9. 11. 13. 15. 17. 18. 19. 21. 23. 24. 26. 28. Ὀκτ. 2. 6. 11. 12. 13. 14. 15. 16. 17. 18. 19. 20. 23. 24. 25. 27. 28. 29. Νοεμ. 1. 2. 3. 5. 6. 7. 8. 11. 12. 14. 16. 17. 24. 26. 27. 30. Δεκ. 3. 4. 7. 9. 17. 18. 19. 20. 22. 23. 25. 26. 27. 28. 29. Ἰαν. 1. 4. 5. 8. 9. 12. 13. 14. 15. 16. 17. 18. 21. 23. 28. Φεβρ. 3. 8. 9. 11. 12. 16. 18. 25. 27. Μαρτ. 1. 2. 3. 4. 6. 12. 18. 23. 25. 30. Ἀπριλ. 4. 8. 9. 10 12. 14. 15. 16. 19. 23. Μαι. 1. 4. 8. 9. 11. 16. 19. 20. 23. 25. 29. 30. Ἰουν. 1. 3. 4. 8. 9. 13. 17. 18. 22. 26. 27. Ἰουλ. 2. 7. 8. 9. 15. 25. 26. 27. 28. Αὐγ. Τριῳδ. p. 125. 218. 327. Πεντηκ. p. 46. 83. 179. 185.

Ἰγνάτιος. Κανόνες: 11. Σεπτ. 13. 21. Μαρτ. 7. Ἀπριλ. 3. Ἰουν. Τριῳδ. p. 239.

Ἰκασία ἢ Κασία μοναχή. Ἰδιόμελα: 15. Νοεμ. 13. 25. Δεκ. 24. Ἰουν. 29. Ἰουν. (Pitra p. LXVI) Τριῳδ. p. 360. 408.

Ἰάκωβος πρωτοψάλτης. ὅρα Μηναῖον τοῦ Ἰουλίου p. 44 adn.

Ἰουστινιανός. ὅρα πίνακα γ'.

Ἰωάννης. Ἰδιόμελον: 15. Αὐγ. — Κανόνες: 8. Σεπτ. 27. Ἰαν.

Ἰωάννης Δαμασκηνός. Ἰδιόμελα: Τριῳδ.

INDEX

RERUM ET NOMINUM.

Cod. Mon 471 Fol. 297.

Ἀ ... τω ... ἀναστάσει: η Χ ... εὐπρεπῶς ὑμνήσωμεν λαοί· τὴν τοῦ σωτῆρος τριήμερον ἔγερσιν· δι ἧς ἐλυτρώθημεν· τῶν τοῦ ᾅδου ἀλύτων δεσμῶν· καὶ ἀφθαρσίαν καὶ ζωὴν πάντες ἐλάβομεν· κράζοντες· ὁ σταυρωθεὶς καὶ ταφεὶς καὶ ἀναστάς· σῶσον ἡμᾶς τῇ ἀναστάσει σου μόνε φιλάνθρωπε :-

ΚΑΝΩΝ ἸΟΑΝΝΟΥ ЄΙϹ ΤΟ ΠΑϹΧΑ.

ᾠδὴ α΄. ἦχος α΄. Πα.

Α να ςα σε ως η με ρα λαμπρυνθω μεν Λα οι

Πα α σχα Κυ ρι ȣ Πα α σχα εκ γαρ θα να τȣπροςζω ην

και εκ γηςπρος Ου ρα νον Χρι ςο ος ο Θε ος· πq η μας δι ε

βι βα σε ν ε πι νι κι ον α α δο ον τα πq

Κ α θαρ θω μεν τας αι σθησειςκαι ο ψω με θα τω α

προ σι τω φω τι της Α να ςα σε ως πq Χρι ςον εξ α

ςραπτοντακαι χαι ρε τε φα σκον τα τρα νω ως α κȣ σω με

θα ε πι νι κι ον α α δο ον τες